



ΘΕΩΝΟΣ
ΣΟΦΙΣΤΟΥ ΠΡΟ-
ΓΥΜΝΑΣΜΑΤΑ.

THEONIS SOPHI-
STAE PRIMAE APVD RHE-
torem exercitationes, innumeris qui-
bus ſcatebant antea mendis
IOACHIMI CAMERARII
PABERGENSIS
opera purgatæ, & in ſermonem
latinum conuerſæ.

Adiectus eſt quoq; rerum & uerborum in ijſdem memorabilium locupletiß. Index.

BIBL: ACADEMIAE DORPATENSIS

Cum gratia & priuilegio Cæſareo
& Regis Galliæ, ad ſeptennium.

BASILEAE.

R
1701

4-II A
5127
153274325

EXIMIO IVRIS-CONSVLTO ANDREAE Franco Camiciano uiro clariss. IOACHIMVS CAMERARIVS Pabergensis S D.

SAEPE multum que cum singulari uoluptate recordor, Andrea, initiorum educationis meæ, & illa mecũ repetens primordia disciplinæ ac eruditionis, iucundissime sentio affici animum nostrum: idq; accidere existimo paulo liberalius institutis omnibus, cũ neq; generis neq; fortunæ & honorũ dulcior esse historia ulla possit, hac serie progressionum, ad quantulancunq; laudem & famã uirtutis. Hoc autem potissimum tempore has cogitationes repræsentarunt Theonis græca quædam scripta de studijs iuuenilibus, quæ ad usum bonorum ac bona

rum artium amantiũ adoleſcentium, & emendanda et in latinam linguam conuertenda ſuſcepiſſem. Nam requirenti ſimiles aliorum operas, inprimis occurrebat P. Moſellani etiã hac in parte cum ſapientiſſima ratio, tum cura ſedula ac labores præclari, quem reminiſcerer nos ſtudioſiſſ. tam præceptis quàm exemplis ad facultatem orationis diſertæ & copioſæ inſtruere ſolitum. Extant ab illo ueterum quorundam editi libelli his de rebus. Extat & ipſius opuſculum, in quo nihil unquam deſiderauimus niſi prolixitatem, cùm quo grandius eſſet, eo melius futurum fuiſſe iudicaremus. Sed ſiue ille de induſtria quædã prę cidit, ſeu alijs negocijs quo minus inſtituta longius proſequeretur, abductus fuit, & nauauit egregiam operam, & ſibi hoc etiam opere immortale nomen peperit. De quo uiro, ſi, non modò ad quam in bonarum artium atq; literarum ſtudio excellentiam

cellentiam peruenerit, ſed quanta etiam illi ſpe ſua deq; omnium exiſtimatione proponi potuerit, uerba facere uelim, liber mihi ſit conſcribendus, non epiſtola. Ac meretur ille quidem memoriam noſtram, & gratiami teſtimonia, ut magiſter & præceptor meus: nosq; hæc illi cupide & perſoluimus antea, & perſoluturi ſumus poſthac, ubicunq; occaſio ſeſe obtulerit. Sed argumẽto laudationis illius peculiariter ſuſcepto, neq; hic locus fuerit, et haud ſcio an non ſatisfacere omnes conatus ingenij & ſummæ induſtriæ cura poſſit. Hoc ad te, Andrea, ideo ſcribo libentius, quod non ſolum tibi familiarius quàm mihi notus fuerit Moſellanus, ſed quia tu illius etiam cum naturam tum ſtudium magis tunc intelligere potuiſti. Nam cum egò, ut meminiſſe potes, admodum puer, Lipſiam deductus, & Georgio Vorhemio traditus fuiſſem, eidem præceptori cum quo & tu

uersareris, iam quidem adolescens & eruditionis fama celebris, audiui post aliquot annos primum Crocum, græcas literas docentem, & post illius discessionē aliquot deinde menses Mosellani scholam frequentaui. Itaq; etsi satis diligens, ut illa in ætate, opera data utriq; à me fuit, iudicij tamen firmitas & grauitas sententiæ adesse nō potuit. Diligentiæ uerò & assiduitatis meæ, quamuis alios testes potius quasi corrogare, quàm ingenij & industriæ opera producere, putidum fortasse uideatur: tu tamen, ut opinor, memoria tenes, neq; ignauissimum, neq; inertissimum me inter plurimos condiscipulos nostros tum omnium iudicio habitum esse. Atq; animaduerti me tibi quoq; propter amorem et cupiditatē discendi esse cariorē. Ea autem omniū nostrûm existimatio erat de te, ut magistro nostro soli te postponeremus, reliquis facile omnibus præstare arbitraremur. Itaq; te ad-

te admirari, te spectare, tuam consuetudinem ardentiss. appetere, contendere ut crebro tecū esse liceret, quod tibi quemque maxime familiarem doctissimū reddi persuasum haberemus. In quo etiam melior fuit fortuna mea quàm aliorum, quod temporibus doctrinæ magistri nostri eum ego locum tenerem, ut ad dextram tuam transuerso scabello assiderē. Itaque multa à te mihi explicata, multa subiecta, multæ bonæ præclaræq; sententiæ inscriptæ, id quod mihi gratissimum erat, libellis meis fuere. Sed te mox doctrina & sapientia tua, ad altiora euexere, & ad Reipub. administrationem prouexere. Nos autem in hoc cursu studij mollioris & artium leniorum perseuerauimus, & hanc planā æquabilemq; uiam nō excessimus. maluimusq; in eo elaborare, cui successuū non nulla spes proposita, quàm ad quod periculose aspirare, et uiribus deficientibus niti uideremur.

Te autem ut me postea semper constantissimè dilexisse compertum habeo, ita scio hæc studia literarum atq; humanitatis abiecisse nunquam, sed & ipsum, quantum liceret, excercuisse, & in alijs adiuuasse & auxisse. Itaque hoc tempore, cum placuisset edere Theonis Progymnasmata oratoria, & Græca, & conuersa à me in sermonem latinum, tibi potissimum dedicanda, & quasi peculiariter transmittenda illa, neq; te quenquam magis idoneum putaui, cum quo & de autore & scripto, deq; etiam opella nostra quædam ueluti differerē. Quis autem hic autor fuerit, & quo tempore floruerit, certò affirmare non possum. Illum quidem hunc accipio, qui sibi Aelij cognomentum sumsisse à Suida, & Alexandrinus fuisse perhibetur. Satis autē apparet, & ingenio & doctrina, atq; etiam usu bonarum artium egregie instructum fuisse. ut admodū dolendū sit, hoc opus ipsius tam

tam deprauatū mendosumq; ad nos peruenisse. Inuentio egregia est. argumentationes, & ea quæ uocāt Græci ἐπιχειρήματα, luculenta. Verba electa: formaq; orationis planè Attica. In præceptis autem nemo minus uulgaria secutus, nemo illa ab intelligentia & captu communi minus longe abduxisse reperitur. Sed hæc in libello ita corrupto, notari quidem facile possunt ab eruditioribus: non tamen et manifesta sunt, atq; eminentia. Incidimus autem iam olim in editum libellum Romæ, neq; postea unquam aliud exemplum adipisci licuit. Sed in Romano cum sunt plurima et turpissima errata, tum scriptionis series confusa est, & ordo turbatus, atq; libellus in multis locis mutilus. Nos autem innumerabilibus correctis, & suspecta quædam notauimus, & de reliquis, quod potuimus, id fecimus. Scio autem te libenter lecturum hoc scriptum, idemq; quod ego iudicatu

rum, utilitatem non exiguam harum rerum cognitionem allaturam esse adolescentibus bonarũ artium studiosis. E' quibus tamen hanc maximam ij percæpturi sunt, qui non modò legere hæc, sed cogitandò sequi, & studij sui diligentia explicare disponereq; uoluerint. Nam de mea conuersione nihil sum dicturus, nisi me studuisse fideliter græca reddere latinis: quem conatum cupio à bonis, ut par est, probari. Si quod uerò per ignorantiam aut obliuionem peccatum commissum à nobis forte aliquis deprehenderit, illius non ita nos pudebit, si admoniti fuerimus, quin & agnoscere & ipsi studiose corrigere uelimus. Istos autem umbraticos & obscuros alienorũ laborum arrosores, nihil moramur, facileq; patimur, ut hoc pabulo occultarum reprehensionum alant maleuolentiã suam. Orationis quidem formã à latinitate non abhorrere confidimus. Sed aliter scribimus

bimus nostra, aliter ea quæ aliunde transferimus: neq; hęc eodem modo omnia, de quo in præsentia disputandi locum esse nõ putamus. Tu nostro nomine, si uidebitur, cũ Fachsio etiã summo uiro apud uos, communicabis hunc libellum. Cui etsi ego Lipsię olim, ut suspicor, notus nõ fui, tamen præclare memini, singularẽ illis temporibus existimationẽ fuisse de ipso, ut ad summę fastigiũ laudis peruentũrus esse iam tum uideretur omnibus. quam quidem ille opinionem etiam, ut apparet, uicit, omnium expectatione superata præstantia sua. Vale mi Andrea, & ut facis, nos ama. Tubinga Sueuiæ, III Cal. Sextilis.

Anno M. D. XLI.

LOCORVM ALIQVOT IN Græcis Latinisq; deprauatorum emendatior lectio.

CArta 2. uersu 13 lege ἐρωτηθ.

C.11. V. à fine 2. deprauata est scriptura inculcatione annotationis. nam pro τῶν ἐν ἑκατέρῳ, ut prior habebat editio, legendũ uidetur τῷ ἑκαταίῳ.

C.14. u. à f. penultimo, παρ' ἡροδότῳ ἐν τῇ δευτέρᾳ. & similiter in uersione, Herodoti in secundo. cum locus extet κλειοῖ, id est libro primo.

C.16. u. 15. κεφάλαιον,

C.17. u. 12. ἀγγέλλων τις

C.20. u. 10. à f. διατεθεὶς,

C.25. u. 13. ἐποίσομεν τὸ δι.

C.26. u. 3. τῶν μεγόνων

C.27. u. à f. 4. ἢ λελέχθαι

C.30. u. à f. 5. συμφέρον ἢ ἀσύμφορ.

C.35. u. à f. 7. οὐχὶ ἐν ταύ. & u. à f. 3. γέλασσαν.

C.43. u. 4. ἠμύνατο

C.48. u. 10. πρόσκειται, Eadem, u. à f. 4. πᾶν ἐστιν. & mox, καυδαύλην

C.50. u. 2. ὁ ταλάου

C.52. u. à f. 8. ποία γυνὴ, uerior lectio uidetur, ut & alibi hoc dictũ reperitur, ποσταία, id est quotuma.

C.58 u. à f. 9. ἀρχομ.

C.62. u. 1. μειδιά.

C.78 u. 13. ἀτυχῶν ταπεῖν.

C.81. u. à f. 8. ἐπάξομεν.

C.92. u. à f. 10. παρεισάγων πατ.

C.96. u. 7. προὐργιαίτερον

C.102. u. à f. 10. λόγῳ μὲν ἓν ἀν.

C.109. u. 2. τοῖς ἐχθρῶν. puncto hæc à superioribus, ut ἐπιμύθιον, distinguenda.

C.111. u. 9. τὸ μὴ τοῖς οἰκεῖ. similiter à superioribus distinguendum. Epimythij enim loco subijciuntur.

C.112. u. 8. πνεῖ, τε ἀπὸ

C.114. u. 9. πῶς οὖν ἀλέξανδρος; & de uersu sequente interrogationis notam exime.

C.115. u. à f. 8. σφαλλομένους.

C.118. u. 8. ἃ τοῖς ἀπορ.

C.126. u. 6 οὐ γὰρ μὴ συγχωρήσαντος οὐκ ἄν ποτ' ἐπέπρ.

C.129. u. 6. ἐκόσμησεν.

C.143. u. à f. 8. sic colloca distinctionum notas. σκοπῶμεν δὲ ὅπως.

C.145. u. 11. δραχμῶν

C.153. u. 12. φιλονεικῆσαι,

C.158. u. à f. 5. ἀποπλεῦσαι,

C.160, ita enim et numerus emendandus, u. à f. 4. καὶ εἰ συνηυχ.

C.181. u. 10. πεπραμ.

C.182. u. à f. 7. συγχυθ.

C.183. u. 5. διὰ τί; ὅτι τοῖς

C.185. u. à f. 5. νῦν δὲ ἐχ.

C.190. u. 2. ἐπὶ τοῦ συμμαχεῖν

C.191. u. à f. 8. συνήθους λόγον.

C.207. u. 5. σπενδόμ.

C.214. u. 6. πολλοὺς,

C.222. u. 14. ἐφ' αὐτῇ & u. 18. τῶν δρωμένων

C.224. u. 2. ἀπῆλθεν

EX VERSIONE.

C.235. u. 7. anus fem. & 10. id autem,

C.236.

C.236. u.ultimo, Non si quid (uit.
C.243. u.à f.3. consue-
C.255. u.9. logopœum
C.257. u.à f.7 quendam
C.259. u.à f.6. assertionis
C.281. u.ultimo, interrogatorie
C.292. u. 6. nunquam
C.314. u.penultimo, suppetant
C.317. u.8. parandarum
C.322. u.12. adde distinctionis notam post potior,
C.337. locus Homericus extat Odyss. τ.
C.354. u.10. necesse est.
C.361. u.à f.3. uniuersis
C.368. u.3. fontis scaturiginis Siculæ,
C.371. u.à f.5. dico enim ego
C.372. u.3. & deinceps lege, qum amici delinquentes castigent, qum err.
C.380. u.9. præcipua dignus ui.
C.389. u.16. caussarum scriptiones,
C.399. u.7. coniũgant.
C.405. u.5. ueneant
C.408. u. 11. istis omn.
C.416. u.ultimo, natura ipsa noctis
C.419. u.à f.11. nullus sol.
C.420. u.à f.9. esset ut rect. & u. 5. inane Et penultimo, non enim in cop.
C.427. u.à f.3. fuerat.
C.450. u.à f.7. neq; eam uiam (cum
C.452. u.penul. captum
C.457. u.3. particeps,
C.481. u.1. partim odisse
C.497. u 4. O Pelium.
C.501. u. à f.3. pertuderat.
C.504. u. 4. porticûm & u. penult. fores progr.

FINIS.



ΘΕΩΝΟΣ ΣΟΦΙΣΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.



ΟΙ ΜΈΝ παλαιοὶ τῶν ῥητόρων, καὶ μάλιστα οἱ εὐδοκιμηκότες, οὐκ ᾤοντο δεῖν ἐφικέσθαι τρόπον τινὰ τῆς ῥητορικῆς, πρὶν ἀμωσγέπως ἅψασθαι φιλοσοφίας, καὶ τῆς ἐκεῖθεν ἐμπλησθῆναι μεγαλονοίας. νῦν δὲ οἱ πλείους τοσούτου δέουσι τῶν τοιούτων ἐπαίειν, ὥστε οὐδὲ τῶν ἐγκυκλίων καλουμένων μαθημάτων ὁπῶν μεταλαμβάνοντες, ἅττουσιν ὠδὶ τὸ λέγειν. καὶ τὸ πάντων ἀγροικότατον, ὅτι οὐδὲ οἷς προσῆκόν ἐστιν ἐγγυμνασάμενοι, ὠδὶ τὰς δικανικὰς καὶ δημηγορικὰς ἴεν-

vide Trapezon ⊖ fad.

Propositio

ται ὑποθέσεις. τὸ δὴ λεγόμενον κατὰ τῆς παροιμίαν, ἐν πίθῳ τὴν κεραμείαν μανθάνοντες. περὶ μὲν οὖν τῶν ἄλλων, ἃ χρὴ μανθάνειν τὸν μέλλοντα ῥητορεύειν, ἄλλοι γραφέτωσαν. ἃ δὲ πρὸς τῆς ὑποθέσεως, ἀναγκαῖον ἐστὶν εἰδέναι τε, καὶ πολιτικῶς ἐγγυμνάζεσθαι, ταῦτα νῦν πειράσομαι παραδοῦναι. οὐχ ὡς οὐχὶ καὶ ἄλλων τινῶν συγγεγραφότων περὶ τούτων, ἀλλ' οὐ μικρόν τι καὶ αὐτὸς ἐλπίζων συλλήψεσθαι τοῖς λέγειν προαιρουμένοις. οὐ γὰρ μόνον τοῖς ἤδη παραδεδομένοις γυμνάσμασιν, ἕτερα ἄττα ἐπεξεύρομεν, ἀλλὰ καὶ ἑκάστου ὅρον ἐπειράθημεν ἀποδοῦναι. ὥστε ἐρωτηθέντα, τί ἐστι ἕκαστον αὐτῶν, ἔχειν εἰπεῖν. οἷον, ὅτι μῦθός ἐστι λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν. ἔτι τε καὶ τὴν διαφορὰν αὐτῶν πρὸς ἄλληλα δεδηλώκαμεν, καὶ τὰς ἀφορμὰς τῶν εἰς ἕκαστον λόγων παραδεδώκαμεν. προσυπεδείξαμεν δὲ, καὶ ὡς ἄν τις αὐτοῖς πολυμελέστατα χρήσαιτο. ὡς δὲ καὶ πάντελῶς εἰσὶν ὠφέλιμα τοῖς τὴν ῥητορικὴν δύναμιν ἀναλαμβάνουσιν, οὐδὲ τοῦτο ἄδηλον. ὅ, τε γὰρ καλῶς καὶ πολυτρόπως διήγησιν καὶ μῦθον ἀπαγγείλας, καλῶς καὶ ἱστορίαν συνθήσει, καὶ τὸ ἰδίως ἐν ταῖς ὑποθέσεσι καλούμενον ἴδιον διήγημα.

οὐδὲ

οὐδὲ γὰρ ἄλλό τι ἐστὶν ἱστορία, ἢ σύστημα διηγήσεως. ὅ, τ' ἀνασκευάσαι ταῦτα ἢ κατασκευάσαι δυνάμενος, μὴ μακρὸν ἀπολείπεται τῶν τὰς ὑποθέσεις λεγόντων. πάντα γὰρ ὅσα ποιοῦμεν ἐν ταῖς δικανικαῖς ὑποθέσεσι, καὶ ἐνταῦθά ἐστι. πρῶτον μὲν, προοίμιον, καὶ διήγημα. ἔπειτα δὲ πρὸς ἕκαστον τῶν εἰρημένων ἐν τῷ διηγήματι, ἢ τῷ μύθῳ, πειρώμεθα ἀπαντᾶν, καὶ ἐφ' ἑκάστῳ πορίζεσθαι ἔλεγχον. ἔτι δὲ καὶ φροντίζομεν, ὅπως καλῶς τάξομεν ἕκαστον τῶν πολυχειρημάτων, καὶ αὐξάνομεν δὲ καὶ διασύρομεν, καὶ τἄλλα περὶ ὧν πολὺ τοῦ παρόντος μακρὸν ἂν εἴη λέγειν. καὶ μὴν, ἡ διὰ τῆς χρείας γυμνασία, οὐ μόνον τινὰ δύναμιν λόγων ἐργάζεται, ἀλλὰ καὶ χρηστόν τι ἦθος ἐγγυμναζομένων ἡμῶν τοῖς τῶν σοφῶν ἀποφθέγμασιν. ὁ δὲ καλούμενος κοινὸς τόπος, καὶ ἡ ἔκφρασις, προφανῆ τὴν ὠφέλειαν ἔχουσι πανταχοῦ τῶν παλαιῶν, τῶν μὲν ἱστορικῶν πάντων, πολὺ πλεῖστον τῇ ἐκφράσει, τῶν δὲ ῥητορικῶν, τῷ τόπῳ κεχρημένων. καὶ ἡ προσωποποιία δὲ, οὐ μόνον ἱστορικὸν γύμνασμά ἐστιν, ἀλλὰ καὶ ῥητορικὸν, καὶ διαλογικὸν, καὶ ποιητικόν. κἂν τῷ καθ' ἡμέραν βίῳ, κἂν ταῖς πρὸς ἀλλήλους ὁμιλίαις

πολυωφελέστατον, καὶ πρὸς τὰς ἐντεύξεις τῶν
συγγραμματων χρησιμώτατον. διαστῶν, πρῶ-
τον μὲν Ὅμηρον ἐπαινοῦμεν, ὅτι οἰκείους λόγους
περιτέθεικεν ἑκάστῳ τῶν εἰσαγομένων προσώ-
πων. τὸν δὲ Εὐριπίδην καταμεμφόμεθα,
ὅτι παρὰ καιρὸν αὐτῷ ἑκάβη φιλοσοφεῖ. ἀλλὰ
μὴν καὶ τὸ τῆς συγκρίσεως γύμνασμα, καὶ ἐν
τοῖς δικανικοῖς λόγοις ἐστὶ χρήσιμον, συγκρι-
νόντων ἡμῶν, ἤτοι τὰ ἀδικήματα τοῖς ἀδικη-
μασιν, ἢ τὰ εὐεργετήματα τοῖς εὐεργετήμα-
σιν. ὁμοίως δὲ καὶ τοῖς ἐγκωμίοις, ἀντιπαρα-
βαλλόντων ἡμῶν τὰς εὐπραγίας. ἐν δὲ ταῖς
συμβουλαῖς, καὶ πάνυ ἔκδηλος ὠφέλεια.
περὶ γὰρ τὸ αἱρετώτερον εἰσὶν οἱ τῶν συμβου-
λευόντων λόγοι. περὶ δὲ τῆς θέσεως, τί ἄν τις
λέγοι; οὐδὲν γὰρ ἄλλο τῆς ὑποθέσεως διαφέρει,
πλὴν ὅτι προσώπων ὡρισμένων, καὶ τόπου,
καὶ χρόνου, καὶ τρόπου, καὶ αἰτίας ἐστὶν ἀπα-
ρέμφατον. οἷον, θέσις μὲν, εἰ προσήκει πολιορ-
κουμένοις στρατεῦμα πέμπειν εἰς τὴν ὑπε-
ρορίαν. ὑπόθεσις δὲ, εἰ ἀθηναίοις προσήκει πο-
λιορκουμένοις ὑπὸ πελοποννησίων, εἰς σικε-
λίαν στρατεῦμα πέμπειν. ὁμοίως δὲ καὶ ἡ τῶν
νόμων κατηγορία, καὶ ἡ ἀπολογία, οὐκ ἐλαχι-
στον μέρος τῆς ὑποθέσεώς ἐστιν, οἱ γοῦν καλλι-
στοι τῶν

στοι τῶν δημοσίων λόγων εἰσὶν, ἐν οἷς περὶ νόμου
τι, ἢ ψηφίσματος ἀμφισβητεῖται. λέγω δὲ
τόν, τε περὶ στεφάνου, καὶ τὸν κατὰ ἀνδρο-
τίωνος, καὶ τιμοκράτους καὶ ἀριστοκράτους.
ὀλίγον γὰρ διήνεγκεν, εἰ μὴ νόμον, ἀλλὰ ψή-
φισμα ὁ ἀριστοκράτης ἔγραψε. τοῦτο δὲ τὸ ἐγκώ-
μιον, οὐδὲ αὐτὸς μὲν ἀγνοῶ, ὅτι εἶδός ἐστιν ὑπο-
θέσεως. τῆς γὰρ ὑποθέσεως, εἴδη τρία. ἐγκω-
μιαστικὸν, ὅπερ ἐκάλουν ἐπιδεικτικὸν οἱ περὶ
τὸν Ἀριστοτέλην, δικανικὸν, συμβουλευτικόν.
ἀλλ' ἐπεὶ καὶ τοῖς νεωτέροις προβάλλειν πολλά-
κις εἰώθαμεν ἐγκώμια γράφειν, διαστῶν ἐν
τοῖς προγυμνάσμασιν αὐτὸ ἔταξα. καὶ ἅμα
τὴν μὲν ἀκριβῆ τούτου τεχνολογίαν ὑπερεθέ-
μην εἰς τὴν προσήκουσαν χώραν. νῦν δὲ, ἁ-
πλουστέραν πεποίημαι τὴν διδασκαλίαν. ἡ
δὲ ἀναγνωσις, ὡς τῶν πρεσβυτέρων τις ἔφη,
Απολλώνιος δοκεῖ μοι ὁ ῥόδιος, τροφὴ λέξεώς
ἐστι. τυπούμενοι γὰρ τὴν ψυχὴν ἀπὸ καλῶν
παραδειγμάτων, καλλιστα καὶ μιμησόμεθα.
τὴν δὲ ἀκρόασιν, τίς οὐκ ἂν ἀσμενίσειε, τὰ με
τὰ πόνων τοῖς ἄλλοις εἰργασμένα, ἑτοίμως
λαμβάνων. ἀλλ' ὥσπερ τοῖς ζωγραφεῖν βου-
λομένοις οὐδὲν ὄφελος κατανοεῖν τά τε ἀ-
πελλοῦ, καὶ πρωτογένους, καὶ ἀντιφίλου ἔργα, ἐὰν

μὴ καὶ αὐτοὶ γράφειν ἐπιχειρῶσιν, οὕτω καὶ τοῖς ῥητορεύειν μέλλουσιν, οὔτε τῶν διανοημάτων τὸ πλῆθος, οὔτε τὸ πρέπον τῇ λέξει καθαρόν, οὔτε σύνθεσις ἁρμονικὴ, οὔτε ἀκρόασις ἀσφαλὴς, οὔτε ὅλως τῶν ἐν τῇ ῥητορικῇ καλῶν οὐδὲν ὅτι χρήσιμον, ἐὰν μὴ καὶ αὐτὸς ἑκάστοτε ταῖς καθ' ἑκάστην ἡμέραν γραφαῖς ἐγγυμνάζηται. ἡ δὲ παράφρασις, οὐχ ὡς τισὶν εἴρηται, ἢ ἔλεγξις, ἄχρηστός ἐστι. τὸ γὰρ καλῶς εἰπεῖν, φασὶν, ἅπαξ πρὸς γίνεται, οἷς δὲ οὐκ ἐνδέχεται. οὗτοι δὲ σφόδρα τοῦ ὀρθοῦ διημαρτήκασι. διὰ γὰρ διανοίας ὑφ' ἑνὶ τρόπῳ διανουμένης, ὥστε τὴν προσπεσοῦσαν αὐτῇ φαντασίαν ὁμοίως προσφέρεσθαι, ἀλλὰ κατὰ πλείους, καὶ ποτὲ μὲν ἀποφαινομένων ἡμῶν, ποτὲ δὲ ἐρωτώντων, ποτὲ δὲ πιστουμένων, ποτὲ δὲ συχνομένων, ποτὲ δὲ κατὰ ἄλλον τινὰ τρόπον τὸ νοηθὲν ἐνφερόντων, οὐδὲν κωλύει κατὰ πάντας τοὺς τρόπους, τὸ φανταθὲν ἐπίστης καλῶς διεξελθεῖν. μαρτυρία δὲ τούτου, καὶ παρὰ ποιηταῖς, καὶ ἱστορικοῖς, καὶ ἁπλῶς πάντων οἱ παλαιοὶ φαίνονται τῇ παραφράσει ἄριστα κεχρημένοι, οὐ μόνον τὰ ἑαυτῶν, ἀλλὰ καὶ τὰ ἀλλήλων μετατιθέντων. Ὁμηρον

ρον μεταφράζων, ὅτε φησὶ, Τοῖον γὰρ νόον ἔδην ἐπιχθονίων ἀνθρώπων, οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε, θεῶν τε. ὁ Ἀρχίλοχος, Τοῖος ἀνθρώποισι γὰρ θυμὸς γλαῦκε λεπτίνεται πᾶσι γίνεται θνητοῖσ' οἷος ἐπ' ἦμαρ ζεὺς ἐφ' ἡμέρῃ ἄγῃ. καὶ πάλιν Ὁμηρος, ἄλλοσι πόλεος ἐπόρουσε νόος. Ἀνδρὰς δὴ κτείνασι, πόλιν δέ τε πῦρ ἀμαθύνει, Τέκνα δ' ἕτερ' ἄλλοι ἄγουσι, βαθυζώνους τε γυναῖκας. ὁ δὲ Δημοσθένης ἔστως. ὅτε γοῦν ἐπορευόμεθα εἰς Δελφούς, ἐξ ἀνάγκης ὁρᾶν ἦν ταῦτα πάντα. οἰκίας κατεσκαμμένας, τείχη πεδιεκεκλυσμένα, χώραν ἔρημον ἅπασαν ἐλιπάνομεν. γύναια δὲ, καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς. ὁ δὲ Αἰσχίνης, ἔστως. ἀλλὰ ταῖς γε διανοίαις ἀκριβέστατε, αὐτῶν εἰς τὰς συμφορὰς, καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τείχη κατασκαφὰς, ἐμπρήσεις οἰκιῶν, ἱερὰ συλώμενα, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύδας γυναῖκας, ὀλοφυρομένους τὴν ἐλευθερίαν. εἶτ' ὁ μὲν Θεκυδίδης φησὶ, φθόνον ἂν τοῖς ζῶσι πρὸς τὸ ἀντίπαλον, ὃ δ' ἂν μὴ ἐμποδὼν, ἀνταναγώνισιν δυνοίᾳ τελίμνῃ. ὁ δὲ Θεόπομπος, ἐπίσαμαι γὰρ ὅτι οὐν μὲν ζῶντες πολλοὶ μετὰ δυσμενείας

ἐξετάζουσι, τοῖς δὲ τετελευτηκόσι διὰ τὸ πλῆ-
θος τῶν ἐτῶν, ἐπανιᾶσι τοὺς φθόνους. ὁ δὲ Δη-
μοσθένης, οὕτω. τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι
τοῖς μὲν ζῶσιν ἅπασιν, ὑπεστί τις ἢ πλείων, ἢ
ἐλαττων φθόνος; τοὺς τεθνεῶτας δὲ, οὐδὲ τῶν ἐχ-
θρῶν οὐδεὶς ἔτι μισεῖ. καὶ μὲν τοί γε ὁ Φίλιστος, τὸν
ἀττικὸν ὅλον πόλεμον ἐν τοῖς σικελικοῖς, ἐκ τῶν
Θουκυδίδου μετεγνήνοχε, καὶ Δημοσθένης εἰς τὸν
κατὰ μειδίου, τά τε λυσίου, καὶ λυκούργου, ἐκ τῶν
τῆς ὕβρεως λόγων, καὶ τὰ ἰσαίου, ἐκ τῶν κατὰ
διοκλέους ὕβρεως. εὕροις δ' ἂν καὶ παρὰ Ισοκρά-
τει ἐν τοῦ πανηγυρικῶ, τὰ ἐν τοῦ λυσίου ἀπο-
λογίῳ, καὶ τοῦ ὀλυμπικῶ. ἀλλὰ μὴν καὶ αὐ-
τὸς ὁ Δημοσθένης, πολλάκις ἑαυτὸν παραφρά-
ζει, οὐ μόνον τὰ ἐν ἄλλοις λόγοις αὐτῷ εἰρημένα
ἀλλαχόσε μεταφέρων, ἀλλὰ καὶ ἐν ἑνὶ λόγῳ
πολλάκις φαίνεται ταῦτα μυριάκις εἰρηκώς.
τῇ δὲ τῆς ἑρμηνείας ποικιλίᾳ, λανθάνει τοὺς ἀ-
κούοντας. ἐν μέν γε τοῦ κατὰ μειδίου φησί,
τίς γὰρ ἡμῶν οὐκ οἶδε, τοὺς μὲν πολλὰ τοιαῦ-
τα γενέσθαι, τὸ μὴ κολάζεσθαι τοὺς ἐξαμαρτά-
νοντας αἴτιον ὄν. τοὺς δὲ μηδένα ὑβρίζειν το-
λοιπὸν, τὸ δίκην τὸν ἀεὶ ληφθέντα, ἣν προ-
σήκει διδόναι μόνον αἴτιον γενόμενον. ἐν δὲ
τοῦ κατὰ ἀριστοκράτους, τὸ δὲ αὐτὸ καὶ κατὰ
ἀνδροτίω-

ἀνδροτίωνος. οὐ γὰρ εἴ τι πώποτε μὴ κατὰ τοὺς
νόμους ἐπράχθη, σὺ δὲ τοῦτο ἐμιμήσω, διὰ τοῦτο
ἀποφύγοις ἂν δικαίως. ἀλλὰ τοὐναντίον, πο-
λὺ μᾶλλον ἁλίσκεσθαι διὰ ταῦτα. ὥσπερ γὰρ
εἴ τις ἐκείνων ἑαυλω, σὺ τάδ' οὐκ ἂν ἔγραψας,
οὕτως ἂν σὺ δίκην δῶς, ἄλλος οὐ γράψει. ἐν
δὲ τοῖς φιλιππικοῖς, τὰ αὐτὰ πράγματα ἄνω
καὶ κάτω λέγων διατετέλεκε. καὶ ἐν τοῦ
πρὸς λεπτίνην, ὅτι μὴ δεῖ τοὺς εὖ ποιήσαντας
ἀφελέσθαι τὰ δοθέντα, οὐδ' ὀλιγάκις εἴρη-
κεν. ἐν δὲ τοῦ ὑπὲρ τοῦ στεφάνου, ὅτι οὐκ ἰδὲ τῷ
τέλει τῶν πεπραγμένων κατηγορεῖν δίκαιον
ἦν, ἀλλὰ καθ' ἕκαστον τῶν πολιτευμάτων ἐ-
λέγχειν, παρ' ὅλον τὸν λόγον παρέσπαρται.
τὰ δὲ περὶ τῆς λύσεως τῶν αἰχμαλώτων, τίς οὐκ
οἶδεν ἐν τοῦ περὶ τῆς παραπρεσβείας διατε-
θρυλλημένα; καὶ μὴν καὶ τὸ τῆς ἐξεργασίας εἶ-
δος, πολλαχοῦ τε ἄλλοθεν ὠφέλιμον, μάλιστα
δὲ ἐν ταῖς δευτερολογίαις. ἡ δὲ αὐτίρρησις,
ἐν ταῖς αὐτιγραφαῖς. τὴν δὲ τάξιν τῶν γυ-
μνασμάτων αὐτῶν, οὕτω ποιησόμεθα. πρῶτον
μὲν, ἀπὸ τῆς χρείας. βραχύ τε γὰρ τοῦτο, καὶ εὐ-
μνημόνευτον. ἔπειτα δὲ τοῦ μύθου καὶ τῆς διη-
γήσεως, πλὴν τῆς τούτων ἀνασκευῆς τε καὶ
κατασκευῆς, ταῦτα γὰρ τῶν ἄλλων ὕστερα,

ἔοικέ πως εἶναι. ὡμολόγηται γὰρ παρὰ πᾶσιν, ὅτι τοῦ ῥήτορος ἔργόν ἐστι, τό, τε ἀπελεῖξαι τὰ ἀμφισβητούμενα, καὶ τὸ αὐξῆσαι τὰ ἀπεδειγμένα. προτερεῖ μὲν οὖν τῇ φύσει καὶ τῇ χρήσει ὁ ἀπελεγκτικὸς λόγος, ἕπεται δὲ ὁ αὐξητικός. πρῶτον γὰρ δεῖ τινα ὡς προδότην ἐλέγξαι, εἶτα ὡς ἐνδὲ μεγάλῳ ἀδικήματι τῇ προδοσίᾳ, εὖ ἀκούοντας παροξύναι. οὐ μὴν ὥσπερ τῇ φύσει προτερεῖν τὴν ἀπόδειξιν ἔφαμεν τῆς αὐξήσεως, οὕτω καὶ τὴν γυμνασίαν ἔχειν συμβέβηκεν, ἀλλὰ καὶ πᾶν τοὐναντίον. πρότερα γὰρ τὰ ῥᾶστα τῶν δυσχερεστέρων, ῥᾷον δὲ αὐξῆσαι τὸ φανερὸν, ἢ τὸ ἀφανὲς ἀπελεῖξαι. διόπερ αὐτοὶ ἀρχόμενοι ἐξ ἰδίας δυνάμεως ἐγχειρεῖν, καὶ ἀνασκευάζειν, ἢ κατασκευάζειν, ἀρξόμεθα ἀπὸ τοῦ τόπου, εἶτα τῆς ἐκφράσεως, ἑξῆς δὲ τῆς προσωποποιίας, εἶτα ἐν τοῖς ἐγκωμίοις γυμνασόμεθα, εἶτα ἐν ταῖς συγκρίσεσι. ταῦτα γάρ ἐστι τὰ ὁμολογούμενα, καὶ μηδεμίαν ἀντιλογίαν ἔχοντα. μετὰ δὲ ταῦτα, καὶ πρὸς τοῖς ἀμφισβητουμένοις γυμνάσμασι, τὴν ἄσκησιν ποιησόμεθα. ἔστι δὲ πρῶτον αὐτῶν ἡ τῶν χρειῶν ἀνασκευή, εἶτα τῶν αἰσωπείων λόγων, καὶ τῶν ἱστορικῶν καὶ μυθικῶν διηγήσεων, εἶτα τῶν θέσεων, καὶ ἑξῆς ἡ τῶν νόμων. τῇ δὲ ἀναγνώσει,

καὶ τῇ

καὶ τῇ ἀκροάσει, καὶ τῇ παραφράσει χρησόμεθα ἀπ' ἀρχῆς. τῇ δὲ ἐξεργασίᾳ, καὶ πολλῷ μᾶλλον τῇ ἀντιῤῥήσει, ὅταν ἕξιν τινὰ περιποιησώμεθα.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΝΕΩΝ ἀγωγῆς. ἐν ᾧ καὶ περὶ τῆς πρὰ τοῖς παλαιοῖς χρήσεως τῶν προγυμνασμάτων.



ΠΡΩΤΟΝ μὲν ἁπάντων χρὴ τὸν διδάσκαλον, ἑκάστου γυμνάσματος εὖ ἔχοντα, παραδείγματα ἐκ τῶν παλαιῶν συγγραμμάτων ἀναλεγόμενον, προστάττειν τοῖς νέοις ἐκμανθάνειν. οἷον χρείας μὲν, ὁποία ἐστὶν ἡ παρὰ Πλάτωνι, ἐν τῷ πρώτῳ τῆς πολιτείας. Σοφοκλεῖ ποτὲ τῷ ποιητῇ προσελθών τις, πῶς ἔφη σοφόκλεις ἔχεις πρὸς τὰ ἀφροδίσια. ἔτι οἷός τε εἶ γυναιξὶ συγγίνεσθαι; καὶ ὃς, εὐφήμει ἔφη ὦ ἄνθρωπε. ἀσμενέστατα μέντοι αὐτὰ ἀπέφυγα, ὥσπερ λυττῶντά τινα, καὶ ἄγριον δεσπότην ἀπέδρας. μύθου δὲ, ὁποῖός ἐστι πρὰ Ηροδότου τοῦ αὐλητοῦ, καὶ πρὰ Φιλίστου τοῦ ἵππου, καὶ πρὰ Εκαταίῳ τῶν ἐκατέρῳ, ἐν τῇ πρώτῃ, καὶ ἐν τῇ δευτέρᾳ. καὶ ἐν τῇ εἰκοστῇ Θεοπόμπου τῶν φιλιππικῶν,

πικῶν, ὁ τοῦ πολέμου καὶ τῆς ὕβρεως, οὗ ὁ Φιλιππος διεξέρχεται πρὸς αὐτὸν αὐτοκράτορας τῶν χαλκιδέων, καὶ ξενοφῶντος ἐν τῷ λόγῳ τῶν ἀπομνημονευμάτων, ὁ τοῦ λυσιοῦ καὶ τῶν προβάτων. λιτηγήσεως δὲ παραδείγματα ἂν εἴη μάλιστα τὰ μὲν μυθικῶν, ἡ Γλαύκων ἐν τῷ λόγῳ τῆς πολιτείας, περὶ τοῦ δακτυλίου τοῦ γύγου. καὶ ἐν τῷ συμποσίῳ, περὶ τῆς γενέσεως τοῦ ἔρωτος. περὶ δὲ τῶν ἐν ἅδου, ἐν τῷ φαίδωνι, καὶ τῷ λεκάτῳ τῆς πολιτείας. καὶ παρὰ θεοπόμπῳ ἐν τῇ ὀγδόῃ τῶν Φιλιππικῶν, ἡ τοῦ σελήνου. τῶν δὲ παραγματικῶν, ἡ περὶ κύλωνος παρ' Ηροδότῳ καὶ Θουκυδίδῃ, καὶ περὶ ἀμφιλόχου τοῦ ἀμφιάρεω ἐν τῇ τρίτῃ Θουκυδίδου. καὶ τὰ περὶ λεοβίμ καὶ βίτωνα, ἐκ τῆς πρώτης Ηροδότου. ἔχουσι δὲ καὶ περὶ σαισάλου τῆς ἀφίξεως, πρὸς ἰωκαλὸν τὸν σικανῶν βασιλέα, Εφορος μὲν ἐν τῇ ζ', Φίλιστος δὲ ἐν τῇ πρώτῃ. εὕροις δ' ἂν καὶ ἐν τοῖς περὶ τῆς παραπρεσβείας Δημοσθένους ἰχνόν καὶ γλαφυρὸν διήγημα, περὶ τῶν ἀγομένων ὀλυμπίων ὑπὸ φιλίππου, μετὰ ὀλιύθου ἅλωσιν. ἔχομεν δὲ καὶ ἀνασκευὰς καὶ κατασκευὰς πρὸς τοῖς παλαιοῖς, χρείων, καὶ γνωμῶν, καὶ ἀποφάσεων,

καὶ

καὶ τοιούτων. καὶ διὰ ἁρμόττειν ὧν τὸν λόγον εἶδος, ὅσα λέγεται ὑπὸ τοῦ Εφόρου ἐν τῇ ἐνδεκάτῃ τῶν ἱστορικῶν, πρὸς τὰς ὑπὸ τῶν παλαιστόρων περὶ τοῦ νέλου καταβεβλημένας ἀποφάσεις. διηγημάτων μὲν μυθικῶν, ἐν τῇ δευτέρᾳ Ηροδότου, πάντων περὶ ὧν ἕλληνες μυθεύουσιν, ὡς αἰγύπτιοι μὲν τὸν ἡρακλέα ἐπιδημήσαντα, θύειν ἐπεχείρουν τῷ διΐ, ὁ δὲ πολλὰς μυριάδας αὐτῶν κατεφόνευσε. ἐν παρὰ Εφόρῳ ἐν τῇ πρώτῃ, τὸ περὶ τῶν ὠγυγίων ἀνέμων θεσίου θυγατέρων, αἳς ἅπασαις παρθένοις οὔσαις, φασὶν ἅμα μιγῆναι τὸν ἡρακλέα. καὶ περὶ τοῦ ἀρισοδήμου, ὡς ἐτελεύτησε λοιμώδους γενομένου. τῶν δὲ παραγματικῶν διηγήσεων, ἔστι μὲν τινὰ καὶ παρὰ Ηροδότου λαβεῖν, ὡς τὰ ἐν τῇ τετάρτῃ, τοῦ διαιρεῖσθαι τὴν ὅλην γῆν εἰς τρία μέρη, καὶ καλεῖσθαι τὸ μὲν εὐρώπην, τὸ δὲ λιβύην, τὸ δὲ ἀσίαν. καὶ παρὰ Θουκυδίδου ἐν τῇ πρώτῃ, τὰ περὶ τῆς ἀναιρέσεως ἱππάρχου ὑπὸ τῶν περὶ ἁρμόδιον καὶ ἀριστογείτονα. πλείω δ' ἔχομεν καὶ παρ' ἄλλων ἱστορικῶν λαβεῖν. παρὰ μὲν Εφόρῳ, ἐν τῇ πρώτῃ τὰ περὶ τὴν διαίρεσιν τῆς πελοποννήσου, κατὰ τὴν ἡρακλειδῶν κάθοδον, παρὰ δὲ θεοπόμπου, ἐκ τῆς πεμπτῆς

καὶ

καὶ εἰκοστῆς τῶν Φιλιππικῶν, ὅτι ἑλληνικὸς ὅρκος
καταψεύδεται, ὃν ἀθηναῖοί φασιν ὀμόσαι
τοὺς ἕλληνας πρὸς τοὺς μάχης τοὺς γὰρ πλαταιαῖς
πρὸς τοὺς βαρβάρους. καὶ αἱ πρὸς βασιλέα δα-
ρεῖον ἀθηναίων, καὶ πρὸς ἕλληνας συνθῆκαι.
ἔτι δὲ καὶ τὴν γὰρ μαραθῶνι μάχην, οὐχ ἅμα πάν-
τες ὑμνοῦσι γεγενημένην, καὶ ὅσα ἄλλα φησὶν
ἡ ἀθηναίων πόλις ἀλαζονεύεται, καὶ παρα-
κρούεται τοὺς ἕλληνας. ὁμοίως καὶ τὸν καλούμενον
τόπον, παρὰ τοῖς παλαιοῖς ἐστιν εὑρεῖν, καθά-
περ τὸ Δημοσθενικὸν γὰρ τοῦ ὑπὲρ στεφάνου. πα-
ρὰ γὰρ τοῖς ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσιν ὁμοίως
φορὰν προδοτῶν, καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν
ἀνθρώπων συνέβη γενέσθαι τοσαύτην καὶ τὰ ἑξῆς.
ἔτι δὲ καὶ Λυκούργου κατὰ μόχου, γὰρ τῷ κατὰ
Λυκόφρονος. καὶ Υπερίδου † κατὰ τὴν ἑταί-
ρων γὰρ τῇ κατὰ ἀριστογόρου. ὁμοίως καὶ τοὺς
ἄλλους γὰρ τοῦ περὶ τόπων ἐκθησόμεθα. πολ-
λὰ δὲ καὶ ἐκπέφρασται παρὰ τοῖς παλαιοῖς. ὥσ-
περ καὶ παρὰ Θουκυδίδῃ γὰρ τῇ δευτέρᾳ, ὁ
λοιμός. καὶ γὰρ τῇ τρίτῃ, ὁ περιτειχισμὸς τῶν πλα-
ταιῶν, καὶ ἄλλοθι ναυμαχία, καὶ ἱππομαχία.
καὶ παρὰ Πλάτωνι, γὰρ τῷ τιμαίῳ, ὡς τὰ περὶ
τὴν Σαΐν. καὶ παρὰ Ηροδότῳ γὰρ τῇ δευτέρᾳ,
τὰ ἑπτὰ τείχη, τὰ γὰρ ἐκβατάνοις. ἔχομεν δὲ καὶ
γὰρ τῇ

† κατὰ τινῶν ἑτέρων, καὶ ἐν τοῦ

γὰρ τῇ γνάθῃ τῶν Φιλιππικῶν Θεοπόμπου, τὰ
γὰρ θετταλίᾳ τέμπη. ἃ ἐστὶ μὲν μεταξὺ δύο ὀ-
ρῶν μεγάλων, τοῦ τε ὄσσης καὶ τοῦ ὀλύμπου, ῥεῖ
δὲ δι' αὐτῶν μέσος ὁ πηνειός, εἰς ὃν ἅπαντες
οἱ κατὰ τὴν θετταλίαν ποταμοὶ συῤῥέουσι. καὶ
παρὰ Φιλίστῳ γὰρ μὲν τῇ ὀγδόῃ, τὰ περὶ τῆς πα-
ρασκευὴν τῶν ὑπὲρ καρχηδονίους διονυσίου τοῦ τυ-
ράννου, καὶ τῶν ὅπλων, καὶ τῶν νεῶν, καὶ τῶν ὀργά-
νων τὴν ποίησιν. γὰρ δὲ τῇ ιᾳ, τὰ περὶ τῆς ἐκφο-
ρὰν αὐτοῦ, καὶ τοῦ πυρᾶς τὴν ποικιλίαν. προ-
σωποποιΐας δὲ, τί ἂν εἴη παράδειγμα κάλ-
λιον τοῦ Ομήρου ποιήσεως, καὶ τῶν Πλάτωνος,
καὶ τῶν ἄλλων τῶν σωκρατικῶν διαλόγων, καὶ
τῶν Μενάνδρου δραμάτων. ἔχομεν δὲ καὶ Ισο-
κράτους μὲν τὰ ἐγκώμια. Πλάτωνος δὲ, καὶ Θου-
κυδίδου, καὶ Υπερίδου, καὶ Λυσίου, τοὺς ὑπὲρ τα-
φίους. καὶ Θεοπόμπου, τοῦ Φιλίππου ἐγκώμιον,
καὶ ἀλεξάνδρου. καὶ Ξενοφῶντος τὸν ἀγησίλαον.
εἰσὶ δὲ καὶ συγκρίσεις παρὰ τοῖς παλαιοῖς, παρά τε
Δημοσθένει γὰρ τῷ πρὸς λεπτίνην, ὁπότε βούλε-
τε προκρίνειν κόνωνα θεμιστοκλέους. εὕροις δ' ἂν
καὶ παρὰ Ξενοφῶντι γὰρ τῷ συμποσίῳ, σωκρατη
καλλίᾳ μαρτυροῦντα, ὡς πολὺ κρείττων ἐστὶν ὁ
τοῦ ψυχῆς ἢ τοῦ σώματος ἔρως. παραδείγ-
ματα δὲ τοῦ τῶν θέσεων γυμνασίας λαβεῖν ἐστι,
παρὰ

παρά τε Αριστοτέλους καὶ Θεοφράστου. πολλὰ γὰρ ἐστὶν αὐτῶν βιβλία θέσεων ἀναγραφόμενα. ἤδη δέ τινα καὶ παρὰ ῥήτορσιν εἴρηται θετικὰ κεφάλαια. καὶ δὴ καὶ ὅλοι λόγοι, νομίζοιντ' ἂν σχεδὸν εἶναι θέσεως. ὡς ὅ, τε περὶ τῶν ἀνακαλυπτηρίων ἀναγραφόμενος Λυσίου, καὶ ὁ περὶ τῆς ἀμβλώσεως. ἐν μὲν γὰρ θατέρῳ ζητεῖται, εἰ τὰ δοθέντα ἀνακαλυπτήρια γυναικὶ γαμουμένῃ βιαίως, ἔχειν αὐτὴν δεῖ. ἐν θατέρῳ δὲ, εἰ τὸ ἔτι ἐγκυούμενον ἄνθρωπός ἐστι. καὶ εἰ ἀνεύθυνα τὰ τῶν ἀμβλώσεων ταῖς γυναιξί. Λυσίου μὲν, οὔ φασιν εἶναι τούτους τοὺς λόγους. ὅμως δὲ οὐκ ἀχαρίστον τοῖς νέοις, γυμνασίας ἕνεκα, καὶ τούτοις ἐν τυγχάνειν. ἔστι δὲ καὶ ἐν ἑκάστῳ λόγῳ εὑρεῖν θετικὸν κεφάλεον, οἷον ἐν τοῦ Δημοσθένους κατὰ ὀνήτορος ἐξούλης, εἰ ἀληθεῖς αἱ βασάνοι. καὶ ἐν τοῦ παρὰ αἰσχίνῃ κατὰ τιμάρχου, εἰ ἀληθεῖς αἱ φῆμαι, καὶ ἄλλα ἄλλοθεν. εὐπορήσομεν δὲ καὶ νόμων ἀνασκευῆς, πολλαχοῦ μὲν παρὰ πλείστοις τῶν ῥητόρων. ἐν τελέστατα δὲ παρὰ Δημοσθένει, ἔν τε τοῦ κατὰ τιμοκράτους καὶ ἀριστοκράτους, καὶ πρὸς λεπτίνην. κατασκευῶν δὲ, παρά τε ἄλλοις, καὶ παρὰ Λυσίᾳ, ἐν τῷ πρὸς διοκλέα ὑπὲρ τοῦ κατὰ τῶν ῥητόρων νόμου. καὶ γὰρ εἰ μὴ

πάσαις

πάσαις κέχρηνται οἱ παλαιοὶ ταῖς ὑφ' ἡμῶν παραδεδομέναις ἀφορμαῖς, τῷ μὴ πρὸς γυμνασίαν, ἀλλὰ πρὸς ἀγῶνας τοὺς λόγους πεποιῆσθαι, ἀλλ' ὅμως τήν γε ὅλην διάθεσιν ἐμφαίνουσι τῶν τοιούτων λόγων. ὅτι δὲ οὐδὲ τῆς παραφράσεως ἠμέλουν οἱ παλαιοὶ, δῆλον ἐκ τῶν μικρὸν ἔμπροσθεν εἰρημένων. πολλὰ δέ ἐστι καὶ ἐξειργασμένα μᾶλλον, παρὰ τοῖς ἑτέροις αὐτῶν. τὸ γοῦν κυλώνειον ἄγος, μᾶλλον τοῦ Ηροδότου καὶ Εὔφρονος ἐξείργασται Θουκυδίδῃ. καὶ Δημοσθένης δὲ μᾶλλον Υπερίδου τὴν γεγενημένην ἀθηναίοις ταραχήν. ὅτι ἧκεν ἑσπέρας ἀγγέλων τις ὡς τοὺς πρυτάνεις, ὡς ἡ ἐλαιτεία κατείληπται. ἔστι δὲ καὶ ἱστορίας, καὶ ὅλους λόγους ἀλλήλοις ἀντιπαραβάλλειν, σκοποῦντα τὸ ἄμεινον ἐξειργασμένον. οἷον Δημοσθένους μὲν τῶν κατὰ ὑπερίδου, Θεοπόμπου δὲ, τὰς ἑλληνικὰς ἱστορίας, πρὸς τὰς Ξενοφῶντος. τῆς δὲ ἀντίῤῥησιν ἔστιν εὑρεῖν μάλιστα ἐν τοῖς λόγοις, ἐν οἷς ὁ μὲν κατηγορεῖ, ὁ δὲ ἀπολογεῖτο περὶ τῶν κατηγορουμένων. οἷον ἐν τῷ Αἰσχίνου καὶ κτησιφῶντος, καὶ Δημοσθένους ὑπὲρ τοῦ στεφάνου, καὶ ἔτι ἐν τῷ ἑκατέρου, περὶ τῆς παραπρεσβείας. εὕροις δ' ἂν καὶ ἐν ἱστορίαις παρὰ μὲν Θουκυδίδῃ, ἐν μὲν τῇ πρώτῃ, κορινθίων ἔστιν ἀντιλογία πρὸς κερκυραίους. ἐν δὲ τῇ τρίτῃ,

διοδότου

διοδότου καὶ Κλέωνος. πρὸς δὲ Πλάτωνι, καὶ τῆς
ἐξεργασίαν, καὶ τὴν αὐτίρρησιν, καὶ τῶν πρα
γμάτων ἔστιν ἰδεῖν. ἐν μέν γε τοῦ φαίδρου, εἰς
τὴν αὐτῆς ὑπόθεσιν τῷ Λυσίᾳ εἰπὼν, ἑξῆς ἀμ
φοτέροις τοῖς λόγοις αὐτιλέγει, τοῦ τε αὐτοῦ καὶ
τοῦ Λυσίου. ἐν δὲ τῇ πολιτείᾳ, καταρχὰς διὰ τῶν
περὶ τὸν γλαύκωνα καὶ ἀδείμαντον συναγορεύ
σας τοῦ θρασυμάχου τῆς δικαιοσύνης, μετὰ
ταῦτα εὐθὺς ἀπολογεῖται πρὸς πᾶσαν τὴν κα
τηγορίαν. ταῦτα μὴ οὖν παρεθέμην οὐ νομίζων
μὲν, ἅπαντα εἶναι πᾶσιν ἀρχομένοις καὶ τὴν
δεῖα, ἀλλ' ἵνα ἡμεῖς εἰδῶμεν, ὅτι πάνυ ἐστὶν ἀ
ναγκαῖον ἡ τῶν γυμνασμάτων ἄσκησις, οὐ μό
νον τοῖς μέλλουσι ῥητορεύειν, ἀλλὰ καὶ εἴ τις ἢ
ποιητῶν, ἢ λογοποιῶν, ἢ ἄλλων τινῶν λόγων
δύναμιν ἐθέλει μεταχειρίζεσθαι. ἔστι γὰρ ταῦ
τα οἱονεὶ θεμέλια πάσης τῆς τῶν λόγων ἰδέας.
καὶ ὡς ἂν αὐτά τις ὑπάγηται τῇ τῶν νέων ψυ
χῇ, ἀνάγκη τὸν αὐτὸν τρόπον καὶ τὰ μετὰ ταῦ
τα συμβαίνειν. διόπερ χρὴ πρὸς τοῖς εἰρημένοις,
καὶ αὐτὸν τὸν διδάσκαλον, ἀνασκευάς τινας
καὶ κατασκευὰς μάλιστα κάλλιστα ποιησάμε
νον, προστάξαι τοῖς νέοις ἀπαγγεῖλαι, ὅπως τυ
πωθέντες κατὰ τῆς ἐκείνων ἀγωγὴν μιμήσασθαι
δυνηθῶσιν. ἐπειδὰν δὲ καὶ αὐτοὶ γράφειν ἱκα

νοὶ γένωνται, ὑπαγορευτέον μὲν αὐτοῖς τῆς τά
ξιν τῶν κεφαλαίων, καὶ τῶν καὶ χειρημάτων, ση
μαντέον δὲ καὶ τὸν καιρὸν τῆς παρεκβάσεως,
καὶ τῆς αὐξήσεως, καὶ τῶν ἄλλων ἁπάντων. δῆ
λον δὲ, ποιητέον καὶ τὸ ἦθος τοῦ προβλήματος,
καὶ μελητέον δὲ καὶ τῆς συνθέσεως τῶν ὀνομάτων,
πάντα διδάσκοντα ἐξ ὧν διαφεύξονται τὸ
κακῶς συντιθέναι, καὶ μάλιστα δὲ τῆς ἔμμετρον
καὶ εὔρυθμον λέξιν, ὡς τὰ πολλὰ τῶν ἡγησίου
τοῦ ῥήτορος, καὶ τῶν ἀσιανῶν καλουμένων ῥη
τόρων, καί τινα τῶν καὶ κούρου, οἷάπου καὶ πρὸς
ἰδομενέα γράφει· ὦ πάντα τἀμὰ κινήματα
τερπνὰ νομίσας ἐκ νέου, καὶ τῶν περιφερομένων
δ' ὡς ἐκείνου. ἡμεῖς δ' οὐδέ πω καὶ νῦν αὐτὰ
εὑρίσκομεν ἐν τοῖς συγγράμμασιν αὐτοῦ· λέγε
δή μοι πολύαινε. * συναπέριμεν, μεγάλη χα
ρὰ γένητι. τὰ οὖν τοιαῦτα καὶ τελέως ἐστὶν ἐπί
μεμπτα, καὶ πρόδηλον ἔχει τῆς κακίαν τῆς συν
θέσεως. συγγνώμης δ' ἄξιον, ὅταν εἰς ἐκεῖνα
τις ἐμπέσῃ ποτὲ τὰ μέτρα, ἅπερ ἔχει ὁμοιότη
τα πρὸς τὸ πεζὸν, οἷόν ἐστι τὸ ἰαμβικόν. διὸ καὶ
πάντες οἱ συγγραφεῖς, ἄκοντες ἐμπίπτουσιν
εἰς τὸ γένος τοῦτο. ὁ γοῦν Ἔφορος ἐν τοῦ περὶ
λέξεως δι' αὐτοῦ τοῦ ἀπαγορεύοντος λό
γου, μὴ τῇ εὐρύθμῳ χρῆσθαι διαλέκτῳ, εὐθὺς

ἐν ἀρχῇ στίχον εἴρηκεν εἰπών, πάλιν δὲ περὶ τῆς εὐρύθμου διέξειμι. περιέχεσθαι δεῖ οὐδὲν ἧττον καὶ τῆς εὐπρεπείας, ὥστε μὴ ἐκ τοῦ εὐθέως γυμνῶσαι τὰ αἰσχρά. περιεσταλμένως δὲ ἀπαγγέλλειν, ὡς Αἰσχίνης εἰς ἀῤῥητοποιΐαν τὸν Δημοσθένην διαβάλλων, φησὶν αὐτὸν μὴ καθαρεύειν τὸ στόμα, μὴ δ' ὅθεν τὴν φωνὴν ποιεῖται. πρὸς δὲ τούτοις, χρὴ τὴν ἑρμηνείαν καὶ σαφῆ, καὶ ἐναργῆ εἶναι. οὐ γὰρ ἀπαγγεῖλαι μόνον δεῖ, ἀλλὰ καὶ τὸν λόγον ἐνοικειῶσαι τῇ διανοίᾳ τῶν ἀκουόντων, ὥστε γενέσθαι τὸ ὑπὸ Ὁμήρου λεγόμενον. Ῥηΐδιόν τι ἔπος ἐρέω, καὶ ἐνὶ φρεσὶ θήσω.

ἡ δὲ διόρθωσίς ἐστιν, οὐκ ἀπ' ἀρχῆς πάντα τὰ ἁμαρτήματα περιαίρουσα, ἀλλ' ὀλίγα. καὶ μάλιστα τὰ πρόδηλα, ὅπως μὴ ἀθύμως ὁ νέος διατεθεῖς, δυσέλπιστος εἰς τὰ μεταταῦτα γένηται. ἅμα δὲ ὁ διορθῶν ὑποδεικνύτω, παρά τι γέγονε τὸ ἁμάρτημα, καὶ πῶς ἐνδέχεται βέλτιον ποιῆσαι. πολὺ δ' ὠφελιμώτερον, καὶ τὸ προστάττειν τοῖς νέοις γράφειν, εἴς τινα προβλήματα τῶν ἤδη τοῖς παλαιοῖς ἐξειργασμένων. οἷον τόπον, ἢ διήγησιν, ἢ ἔκφρασιν, ἢ ἐγκώμιον, ἢ θέσιν, ἢ τὶ ἄλλο τῶν τοιούτων. μετὰ δὲ ταῦτα, ποιῆσαι τοῖς ἐκείνων αὐτοὺς ἐντυγχάνειν. ἵν' εἰ μὴ ὁμοίως εἶεν γεγραφότες, πειθῶσιν. εἰ

σιν. εἰ δὲ μὴ, ἀλλὰ διορθωτὰς ἔχοιεν αὐτοὺς τοὺς παλαιούς. ἐπεὶ δὲ οὐ πάντες πρὸς πάντα πεφύκαμεν, ἀλλ' οἱ μὲν τῶν παθῶν ἀπολείπονται, περὶ δὲ τὰ ἤθη μᾶλλον κατορθοῦσιν, οἱ δὲ ἀναπαλιν, οἱ δ' ἀμφοῖν ὑστεροῦσι, τὰ δὲ ἐνθυμήματα ἄμεινον ἐργάζονται, πειρατέον τὰ μὴ φυσικὰ πλεονεκτήματα αὔξειν, τὰ δὲ ἐλλείποντα ταῖς αὐξήσεσιν ἀναπληροῦν, ἵνα δυνηθῶμεν μὴ μόνον τὰ μεγάλα προβλήματα καλῶς λέγειν, ὡς Αἰσχίνης, μὴ δὲ τὰ μικρὰ ὡς Λυσίας, ἀλλὰ καὶ πρὸς ἀμφότερα παρασκευὴν ἔχωμεν, ὡς Δημοσθένης. ὠθεῖ πᾶσι δὲ καὶ τῆς προσήκουσαν ὑπόκρισιν, ἑκάστῃ τῶν λόγων ἰδέᾳ πειρατέον ἐκμανθάνειν.

ΠΕΡΙ ΜΥΘΟΥ.



ΜΥΘΟΣ ἐστὶ λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν. εἰδέναι χρὴ, ὅτι μὴ περὶ παντὸς μύθου τανῦν ἡ σκέψις ἐστὶν, ἀλλ' οἷς μετὰ τὴν ἔκθεσιν ἐπιλέγομεν τὸν λόγον, ὅτου εἰκών ἐστιν. ἔσθ' ὅτε μέντοι τὸν λόγον εἰπόντες, ἐπεισφέρομεν τοὺς μύθους. καλοῦνται δὲ αἰσώπειοι, καὶ λιβυστικοί, ἢ συβαριτικοί τε καὶ φρύγιοι, καὶ κιλίκιοι, καὶ καρικοί. αἰγύπτιοι, καὶ

 κύπριοι.

κύπριοι. τούτων δὲ πάντων, μία ἐστὶ πρὸς ἀλλήλους διαφορά, τὸ προσκείμενον αὐτῷ ἕκαστον ἴδιον γένος· οἷον, αἴσωπος εἶπεν, ἢ λίβυς ἀνὴρ, ἢ συβαρίτης, ἢ κυπρία γυνὴ, καὶ τὸν αὐτὸν τρόπον ὠδὶ τῶν ἄλλων. ἐὰν δὲ μηδεμία ὑπαρχὴ προσθήκη σημαίνουσα τὸ γένος, κοινοτέρως τὸ τοιοῦτον αἰσώπειον καλοῦμεν. οἱ δὲ λέγοντες οὐ μὲν ὑπὲρ τοῖς ἀλόγοις ζώοις συγκειμένους, τοιούσδε εἶναι, οὐ δὲ ἐπ' ἀνθρώποις τοιούσδε, οὐ μὲν ἀδυνάτους τοιούσδε, οὐ δὲ δυνατῶς ἐχομένους τοιούσδε, εὐήθως μοι ὑπολαμβάνειν δοκοῦσιν. ἐν πᾶσι γὰρ τοῖς προειρημένοις εἰσὶν ἅπασαι αἱ ἰδέαι. αἰσώπειοι δὲ ὀνομάζονται ὡς ἐπίπαν, οὐχ ὅτι αἴσωπος πρῶτος εὑρετὴς τῶν μύθων ἐγένετο. (ὅμηρος γὰρ καὶ ἡσίοδος, καὶ ἀρχίλοχος, καὶ ἄλλοι τινὲς πρεσβύτεροι γεγονότες αὐτοῦ, φαίνονται ὑπερσάμενοι, καὶ δὴ καὶ κόννις, καὶ κίλιξ, καὶ θοῦρος ὁ συβαρίτης, καὶ κυβισσὸς ἐκ λιβύης, μνημονεύονται ὑπό τινων ὡς μυθοποιοί) ἀλλ' ὅτι αἴσωπος αὐτοῖς μᾶλλον κατακόρως καὶ δεξιῶς ἐχρήσατο· ὥσπερ ἀριστοφάνειόν τι μέτρον, καὶ σαπφικὸν, καὶ ἀλκαϊκὸν, καὶ ἄλλο ἀπ' ἄλλου λέγεται, οὐχ ὡς τούτων ποιητῶν μόνων, ἢ πρῶτον ἐξευρηκότων τὰ μέτρα, ἀλλ' ὅτι αὐτοῖς ὠδὶ τὸ πλεῖστον ἐχρήσαντο. προσαγορεύουσι

δὲ αὐτοὺς, τῶν μὲν παλαιῶν οἱ ποιηταὶ μᾶλλον αἴνους, οἱ δὲ μύθους. πλεονάζουσι δὲ μάλιστα οἱ καταλογάδην συγγεγραφότες, τὸ λόγους, ἀλλὰ μὴ μύθους καλεῖν, ὅθεν λέγουσι καὶ τὸν αἴσωπον λογοποιόν. Πλάτων δὲ ἐν διαλόγῳ τοῦ περὶ ψυχῆς, πῇ μὲν μῦθον, πῇ δὲ λόγον ὀνομάζει. εἴρηται δὲ μῦθος, οἷον λόγος τὶς ὤν. ἐπεὶ καὶ μυθεῖσθαι, τὸ λέγειν ἐκάλουν οἱ παλαιοί. αἶνος δὲ, ὅτι καὶ παραίνεσίν τινα περιέχει· ἀναφέρεται γὰρ ὅλον τὸ πρᾶγμα εἰς χρησίμην ὑποθήκην. νῦν μέντοι καὶ τὰ ἀνίγματα, αἴνους τινὲς καλοῦσι· καὶ οὕτω τὸ γύμνασμα. καὶ γὰρ ἀπαγγέλλομεν τὸν μῦθον, καὶ κλίνομεν, καὶ συμπλέκομεν αὐτὸν διηγήματι, καὶ ἐπεκτείνομεν, καὶ συστέλλομεν. ἔστι δὲ καὶ ὑπὲρ λέγειν αὐτοῦ τινὰ λόγον, καὶ αὖ λόγου τινὸς προτεθέντος, μῦθον ἐοικότα αὐτοῦ συμπλάσασθαι. ἔτι δὲ πρὸς τούτοις ἀνασκευάζομεν, καὶ κατασκευάζομεν τὴν μὲν ἀπαγγελίαν ἤτις ἔστι, καὶ ἐν τοῦ περὶ τῆς χρείας, δεδηλώκαμεν. ἐν δὲ τοῖς μύθοις ἁπλουστέραν τὴν ἑρμηνείαν εἶναι δεῖ, καὶ προσφυῆ· καὶ ὡς δυνατὸν, ἀκατασκευόν τε καὶ σαφῆ. διὸ καὶ προεκμανθάνειν δεῖ, ὅσους καὶ παρὰ τοῖς παλαιοῖς ἐστὶν εὑρεῖν

οὕτως ἀπηγγελμένος. χρήσιμον δὲ καὶ τὸ, ὅλως πλήρωσιν εἰρημένου μύθου, ἐθισθῆναι τὸν μανθάνοντα χαρίεντως ἐκ τῶν μύθων ἀρέσκεσθαι. ὥσπερ Ησίοδος·

Ὧλ' ἴρηξ πρὸς ἐίπεν ἀκέλευνα ποικιλόδειρον.
ἐκ μὲν γὰρ τῶν ἐπέφνεθόντων,

Αἰσωπος δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας αὐλαφερίζειν, δηλοῦται, ὅτι ἀρᾶς ἄμεινον ἀκίνδυνον πρὸς ἱέρακα. μάπειτα ἀγανακτήσας ὁ ἱέραξ, καὶ σπαραπτήσας αὐτὸν, ὅτω τάδε εἶπε. μᾶλλον ἢ οὖν μύθος καὶ τῆς χρείας, εἰς γε οὖν ἀριθμὸς, καὶ τὰς πλαγίας πλάσεις. μᾶλιστα δὲ ἐμμελετητέον ταῖς αἰτιατικαῖς, ὅπ καὶ οἱ παλαιοὶ οὐ πλείστας τῷ μύθῳ ἔτως ἀπήγγειλαν, καὶ μᾶλλισα ὀρθῶς, ὡς φησιν Αριστοτέλης. ὁ γὰρ ἐκ τοῦ αὐτοῦ πρόσωπα λέγουσιν, ἀλλ' ὧδε τὸ ἀρχαῖον ἀναφέρουσιν, ἵνα παραμυθήσονται τὸ δοκεῖν ἀδύνατα λέγειν. ὃν ἀεὶ δὲ χρὴ καθάπερ ἀναγκασμένῳ ζῆνι ἔπεσθαι νόμῳ τῇ προκειμένης πλάσεως ἀκολουθίᾳ, ἀλλ' ἔνια προσακτέον καὶ μικτῷ τρόπῳ χρῆσθαι, ὡς προκεῖσθαι μὲν ἄλλα ἵνα πλάσῃ, μεταβεβηκέναι δὲ ἐν τοῖς ἐξῆς εἰς ἑτέραν. ὠφέλιμον γὰρ τοῦτο τὸ, μὴ ποικίλον. ὁποῖός ὅδε καὶ παρὰ τῷ σωκρατικῷ φαίδωνι μύθος, ἐν τῷ ζωπύρῳ· τὰ μὲν γὰρ ἀρχαῖα ἀπ-

πατικῆς ἔχει. φασὶ τοίνυν ὦ Σώκρατες, τὸν νεώτατον Βασιλέως ἥδιον χαρίσασθαί τινα λέοντος σκύμνον. μικρὸν δὲ ὑποβὰς, μετέβαλεν εἰς τὴν ὀλυθείαν οὕτω. καί μοι δοκεῖ ὁ λέων, σωτροφος ὢν τοῦ παιδὸς νεανίσκῳ ἤδη ὄντι, ἀκολουθεῖν ὅπου βαδίζοι. ὥστε οἵ γε τῶρσαι, ἐρᾶν ἔφασαν τὸ παιδὸς αὐτὸν. καὶ τὰ ἑξῆς. συμπλέκομεν δὲ ὧδε ἐκθέμενοι τὸν μῦθον, ὡς φέρομεν δὴ λίνημα ὡς ἔοικεν, ἢ αὐλοπάλιν. τὸ μὲν λίνημα πρότερον, ὕστερον δὲ τὸν μῦθον, οἷον πεπλασμένον. οἷον καλάμους ὡθυμίζαμεν ἐρατοὺς, καὶ τὰ ὦτα ἐσόρθη. οὕτω προειπόντος, ἐποιήσομεν τὸ δίκτυον οὕτω τὸν τρόπον. παραπλήσιόν μοι δοκεῖ τι παθεῖν τῇ καμήλῳ ταύτῃ, καὶ λιποῖσος ὁ λυσίας. καὶ ὅλον ἐφεξῆς τὸ δίκτυον τὸ περὶ αὐτόν. ἐπεκτείνομεν δὲ, τὰς ἐν τοῖς μύθοις προσωποποιίας μιμούμενοι. καὶ ποταμοὺς, ἢ τι τῶν τοιούτων ἐκφωνοῦντες. τὸ ἐναντίον ἢ ποιοῦντος, συνέλομεν. ὡς λέγειν δὲ, ὧδε. ὅταν μύθος ῥηθέντος, ἐοικότα λέγειν γνωμικὸν αὐτῷ λόγον ὡς χειρώσωμεν κομίζειν. οἷον, λύων πηγὰς ποταμοῦ τινα φέρων λιτέας, καὶ κατὰ τὴν ὕλαιος τῶν αὐτὸν σκιαὶ θεασάμενος, οἰηθεὶς ἕτερον εἶναι μείζονα λιτέας ἔχοντα, ἃ μὲν εἶχεν ἀπέβαλεν. ἁλόμενος δὲ εἰς τὸν ποταμὸν

ταμὸν ὡς ἁρπάσων, ὑποβρύχιος ἐγένετο.

Τὸν λόγον δὲ οὕτως ἐποίουμεν· ὅτι ἄρα οἱ τῶν μειζόνων πολλάκις ὀρεγόμενοι, καὶ ἑαυτοὺς πρὸς αὐτοῖς ὑπάρχουσιν ἀπολλύουσιν. γενοίντο δ' ἂν καὶ ἑνὸς μύθου πλείονες ἐπίλογοι, ἐξ ἑκάστου τῶν ἐν τῷ μύθῳ πραγμάτων, τὰς ἀφορμὰς ἡμῶν λαμβανόντων. καὶ ἀνάπαλιν, ἑνὸς ἀπολόγου πάμπολλοι μῦθοι, ἀπεικασμένοι αὐτῷ. τὴν γὰρ τοῦ ἀπολόγου δύναμιν ἁπλῆν προτείναντες, προστάξομεν τοῖς νέοις μῦθόν τινα πλάσαι, τῷ προτεθέντι πράγματι οἰκεῖον. προχείρως δὲ οὕτω ποιεῖν δυνήσονται, πολλῶν ἐμπλησθέντες μύθων· οὓς μὲν ἐκ τῶν παλαιῶν συγγραμμάτων ἀνειληφότες, οὓς δὲ καὶ αὐτοὶ μόνον ἀκούσαντες, οὓς δὲ καὶ παρ' αὐτῶν ἀναπλάσαντες. ἀνασκευάσομεν δὲ, καὶ κατασκευάσομεν, οὕτω τὸν τρόπον. ἐπεὶ γὰρ καὶ αὐτὸς ὁ μυθοποιὸς ὁμολογεῖ ψευδῆ καὶ ἀδύνατα συγγράφειν, πιθανὰ δὲ καὶ ὠφέλιμα, ἀνασκευαστέον μὲν δεικνύντας, ὅτι ἀπίθανα καὶ ἀσύμφορα λέγει. κατασκευαστέον δὲ ἐκ τῶν ἐναντίων. ταῦτα γὰρ ἐστι τὰ ἀνώτατα κεφάλαια, εἰς ἃ τὰ κατὰ μέρος ἐμπίπτει. τὸ μὲν οὖν προοίμιον, πρόσφορ εἶναι δεῖ τῷ μύθῳ. μετὰ δὲ τὸ προοίμιον ἐκθέσθαι δεῖ τῶν μῦθον. ἐνίοτε δὲ καὶ πρατίθεσθαι,

ὅπερ

ὅπερ ἐν ὑποθέσει, οὐκ ἀναγκαῖον ἀεὶ διηγεῖσθαι. ἔπειτα δὲ μεταβαίνειν ἐπὶ τὴν ἀπαρχείρησιν, καὶ ἀνασκευάζειν τῶν εἰρημένων ἕκαστον ἐν μέρει, ἀπὸ τῶν πρώτων ἀρξαμένους, καὶ πρὸς ἕκαστον μέρος τοῦ μύθου, ἐφ' ἑκάστου τόπου λόγων εὐπορεῖν πειρωμένους· λεπτέον δὲ τὰ ἀπαρχειρήματα, ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ἀπρεποῦς, ἐκ τοῦ ἐλλιποῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἀσυνήθους, ἐκ τοῦ μαχομένου, ἐκ τῆς τάξεως, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀνομοίου, ἐκ τοῦ ψευδοῦς. ἀσάφεια μὲν οὖν γίνεται ἤτοι διὰ ἓν ὄνομα, ἢ καὶ πλείονα. διὰ ἓν μὲν, ὅταν τις ὀνόμασι χρήσηται, ἢ παρὰ τὰ εἰωθότα, ἢ ὁμωνύμως. διὰ πλείω δὲ, ὅταν δυνατὸν ᾖ, μηδενὸς μήτε προστιθεμένου, μήτε ἀφαιροῦντος, πολλαχῶς ἐκδέχεσθαι τὸ εἰρημένον· οἷον, ἐγώ σ' ἔθηκα δοῦλον ὄντα ἐλεύθερον. οὐ γὰρ σαφὲς, πότερον ἐλεύθερον ἔθηκεν ἀντὶ δούλου, ἢ δοῦλον ἀντ' ἐλευθέρου. ἀκριβέστερον δὲ μικρὸν ὕστερον περὶ τῆς σαφηνείας, ἐν τῷ περὶ διηγήματος ῥηθήσεται. τὸ δὲ ἀπίθανόν ἐστι, τὸ δυνατὸν μὲν γενέσθαι, ἢ ἐλελέχθαι, ἀπιστούμενον δὲ εἰ γέγονεν, ἢ εἴρηται· ἤτοι διὰ πρόσωπον ἐφ' ᾧ ἡ πρᾶξις, ἢ ὁ λόγος ἀναφέρεται· ἢ διὰ τὸν τόπον ἐν ᾧ λέγεται γενέσθαι τί ἢ εἰρῆσθαι,

ἢ διὰ

ἢ διὰ τὸν χρόνον καθ' ὃν λέγεταί τι γενέσθαι, ἢ λελέχθαι. ἢ διὰ τὸν τρόπον τῆς πραξεως, ἢ τοῦ λόγου. ἢ διὰ τὴν αἰτίαν τῶν αὐτῶν τούτων. λεγόντων ἡμῶν, ὅτι οὐκ εἰκός ἐστι τοῦ τοιούτου τόδε τι πρᾶξαι, ἢ τόδε τι εἰπεῖν, ἐν τούτῳ τοῦ τόπῳ, ἢ κατὰ τοῦτον τὸν τόπον, ἢ χρόνον, ἢ τοῦτον τὸν τρόπον, ἢ διὰ ταύτην τῆς αἰτίαν. ὁ αὐτὸς δὲ λόγος ἐστὶ καὶ περὶ τοῦ ἀπρεποῦς τὸ ἐλλιπὲς, τὸ πλεονάζον ἐστὶν, ὅταν τι τῶν ῥηθήσεσθαι δυναμένων παραλίπῃ, ἢ εἴπῃ τι μηδὲν ὄν. οἷον, ἢ πρόσωπον, ἢ πρᾶγμα, ἢ χρόνον, ἢ τρόπον, ἢ τόπον, ἢ αἰτίαν, ἤ τι τῶν τοιούτων. τὸ δὲ ἀσυνηθὲς ἐστι, τὸ παρὰ τὴν πεπιστευμένην ἱστορίαν, ἢ τὸ παρὰ τὰς κοινὰς ὑπολήψεις λεγόμενον. οἷον, εἴ τις τοὺς ἀνθρώπους μὴ πεπλάσθαι εἴποι ὑπὸ τοῦ προμηθέως, ἀλλ' ὑπ' ἄλλου τινὸς τῶν θεῶν. ἢ τὸν ὄνον φρόνιμον εἴποι, ἢ ἀνόητον τὴν ἀλώπεκα. ὁ δὲ ἐκ τοῦ μαχομένου τόπος, τοιοῦτός ἐστιν, ὅταν δείξωμεν αὐτὸν ἑαυτοῦ μαχόμενον τὸν μυθογράφον. τούτῳ δὲ χρηστέον, οὐκ ἐν ἀρχῇ, ἀλλ' ὅταν τι τῶν μέσων ἢ τελευταίων ἀνασκευάζωμεν, ἔπειτα καὶ ἐναντίον αὐτὸ δείκνυμεν τοῖς προειρημένοις. ἀπόγε μὴν τῆς τάξεως ὑπαρχήσομεν, ἐλέγχοντες ἃ μὴ ἔδει πρῶτον ἐν τοῦ μύθῳ ῥηθῆναι, οὐκ ἐν πρώτοις ἀπηγ-

γελμένα.

γελμένα. ἃ δὲ ὑπὸ τελευτῆς, ἀλλαχοῦ προκείμενα. καὶ ὅλως ἕκαστον ὡς ἂν δυναίμεθα, οὐ κατὰ τὴν προσήκουσαν τάξιν εἰρημένον. καὶ μὴν καὶ ὁ ἐκ τοῦ ἀσυμφόρου τόπος, σαφής ἐστιν, ᾧ καὶ μᾶλλον χρησόμεθα εἰς ἀνασκευὴν τοῦ ὑπαλλόγου. οἱ δὲ ἐκ τοῦ ἀνομοίου, καὶ τοῦ ψευδοῦς, μόνον εἰσὶ τοῦ ὑπαλλόγου ἀνασκευαστικοί. ἐκ μὲν οὖν τοῦ ἀνομοίου, ἐπειδὰν τὰ ἐν τοῦ μύθῳ κατὰ μηδὲν, ἢ μὴ παντὶ τοῦ ὑπαλλόγῳ προσεοικότα ὑπάρχῃ, ἐκ δὲ τοῦ ψευδοῦς, ὅταν μὴ κατὰ πᾶν συμβαίνῃ, ὥς φησιν ὁ μυθογράφος. ὅτι οἱ τῶν πλειόνων ὀρεγόμενοι, καὶ τῶν ὄντων στερίσκονται. οὐ γὰρ ἀεὶ τοῦτο ἀληθὲς ἐστιν. ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν. ἀνακεφαλαιοῦσθαι δὲ χρὴ, ὅταν πολλαὶ καὶ ἰσχυραὶ ὦσιν ἀνασκευαὶ καὶ κατασκευαὶ, ἐπεὶ ὅταν ὀλίγαι καὶ ἀσθενεῖς, οὐ παραληπτέον τὴν ἀνακεφαλαίωσιν. χρησόμεθα δὲ ἐνταῦθα καὶ τὸ διασύρειν αὐξήσεσιν, ἢ μειώσεσιν, καὶ παρεκβάσει, καὶ ἤθεσι, καὶ ἁπλῶς πάσαις ταῖς ἰδέαις τῶν λόγων. καθάπερ γὰρ εἴπομεν, σμικρὸν διαλλάττει τὸ γύμνασμα τοῦτο, δικανικῆς ὑποθέσεως. οἱ δ' αὐτοὶ τόποι, χρήσιμοι καὶ πρὸς τὴν τῶν διηγημάτων ἀνασκευήν τε καὶ κατασκευήν.

ΠΕΡΙ

ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.

ΔΙΗΓΗΜΑ ὅτι, λόγος ἐκθετικὸς πραγμάτων γεγονότων, ἢ ὡς γεγονότων. στοιχεῖα δὲ διηγήσεως εἰσιν ἓξ. τό τε πρόσωπον, εἴτε ἓν εἴη, εἴτε πλέω. καὶ τὸ πραῦγμα τὸ πραχθὲν ὑπὸ τοῦ προσώπου, καὶ ὁ τόπος ἐν ᾧ ἡ πρᾶξις, καὶ ὁ χρόνος καθ' ὃν ἡ πρᾶξις, καὶ ὁ τρόπος δὲ πράξεως· καὶ ἕκτον, ἡ τούτων αἰτία. τούτων δὲ ὄντων τῶν αὐτοτάτων στοιχείων, ἐξ ὧν συμπληροῦται ἡ τελεία διήγησις, ἐξ ἁπάντων αὐτῶν καὶ τῶν συνεξομούντων αὐτοῖς συνέσηκεν. ἐλλιπὴς δὲ ὅταν, ἡ ἑνὸς τούτων ὑπολείπηται. παρακολουθεῖ δὲ τοῦ μὲν προσώπου, γένος, φύσις, ἀγωγή, διάθεσις, ἡλικία, τύχη, προαίρεσις, πρᾶξις, λόγος, θάνατος, τὰ μετὰ θάνατον. τοῦ δὲ πραγματος, μέγα ἢ σμικρόν, εὐνδεχομένως ἢ ἀδύνατον, δυνατὸν ἢ ἀδύνατον, ῥᾴδιον ἢ δυσχερές, ἀναγκαῖον ἢ οὐκ ἀναγκαῖον, συμφέρων ἢ ἀσύμφορον, δίκαιον ἢ ἄδικον, σῶφρον ἢ ἄσωτον. τοῦ δὲ χρόνου παρέπεται, τὸ πάρεληλυθός, τὸ γενησόμενον, τὸ μέλλον, τί πρῶτον, ἢ δεύτερον, καὶ τὰ ἑξῆς. ἢ τί τῷ καθ' ἡμᾶς βίῳ πρέπει, τί τῷ παλαιῷ. ὧδε πᾶσιν αἱ προθεσμίαι,

μίαι, αἱ μὲν κατὰ κοινόν, ἢ κατ' ἰδίαν, ἄνθρωποι συντίθενται. ἔπειτα χειμὼν ὄντος, ἢ ἔαρος, θέρους, ἢ μεσοπώρου, νυκτὸς ὄσης, ἢ μεθ' ἡμέραν. ἐκκλησίας ὄσης ἐγένετο τὸ πρᾶγμα, ἢ πομπῆς, ἢ ἑορτῆς· καὶ πότερον γάμων ὄντων, ἢ φίλων συνουσίας, ἢ πένθους, ἢ βιαίου τινὸς βιωτικῆς περιστάσεως. τοῦ δὲ τόπου παρακολουθεῖ μέγεθος, διάστημα, γύτνιῶσα πόλις, ἢ χώρα. ἱερὸς ἢν ὁ τόπος, ἢ βέβηλος· ἴδιος, ἢ ἀλλότριος. ἔρημος, ἢ οἰκούμενος· ὀχυρός, ἀσφαλής. πεδινός, ἢ ὀρεινός. ἄυδρος, ἢ ἐάβυγρος. ψιλός, ἢ ἀγνδρώδης, καὶ πάντα τὰ παραπλήσια. τῷ δὲ τρόπῳ, ἑκουσίως, ἢ ἀκουσίως. ἕκαστον δὲ εἰς τρία διαιρεῖται· τὸ μὲν ἀκούσιον εἰς ἄγνοιαν, καὶ τύχην, καὶ ἀνάγκην· τὸ δὲ ἑκούσιον, πότερον βίᾳ γέγονεν, ἢ λάθρᾳ, ἢ ἀπάτῃ. τῇ δὲ αἰτίᾳ τῶν πραξέων παρέπεται, πότερον ἕνεκεν ἀγαθοῦ ἐπήσεως γέγονεν, ἢ χαρίσεως ἐναντίας ἀπαλλαγῆς· ἢ διὰ φιλίαν, ἢ διὰ γυναῖκα, ἢ τέκνων χάριν· ἢ διὰ τὰ πάθη, θυμόν, ἔρωτα, μῖσος, φθόνον, ἔλεον, μέθην, καὶ τὰ τούτοις ὅμοια. ἀρεταὶ δὲ διηγήσεως, τρεῖς· σαφήνεια, συντομία, πιθανότης. διὸ καλλίστου μὲν, εἰ δυνατὸν εἴη, ἁπάσας τὰς ἀρετὰς ἔχειν· εἰ δὲ τοῦτο ἀμήχανον,

χανον εἴη, τὸ μὴ ἐναντίαν εἶναί πως τὴν συν-
τομίαν, τῇ τε Σαφηνείᾳ, καὶ τῇ πιθανότητι, τῶν
κατεπείγοντος μᾶλλον στοχαστέον. οἷον, εἰ μὲν εἴη
τὸ πρᾶγμα φύσει περισκελὲς, ὡς τὴν Σαφή-
νειαν ἰτέον, καὶ πιθανότητα. εἰ δὲ ἁπλοῦν, καὶ
μὴ πολύπλοκον, ὡς τὴν συντομίαν, καὶ τὴν
πιθανότητα. δεῖ γὰρ ἔχεσθαι ἀεὶ τοῦ πιθανοῦ ἐν
τῇ διηγήσει. οὕτω γὰρ αὐτῇ μάλιστα ἴδιον ὑπ-
αρχει. καὶ τούτου μὴ προσόντος αὐτῇ, ὅσον ἂν
Σαφὴς καὶ σύντομος ᾖ τοσούτῳ μᾶλλον ἀπι-
στοτέρα τοῖς ἀκούουσι καταφαίνεται. ἐὰν δὲ τὸ
πρᾶγμα φύσει πιθανὸν ᾖ, χρηστέον πῇ μὲν τῇ
συντομίᾳ, πῇ δὲ πλεῖστον τοῖς κατασκευάζουσι
καὶ εἰς πιθανότητα ἄγουσι τὸ προκείμενον. ἔ-
τι δὲ τὰ μὲν λυπήσοντα οὐ ἀκουσομένους, συν-
τομώματα διηγητέον. ὡς Ομηρος,

Κεῖται πάτροκλος.

Τοῖς δὲ εὐφραίνουσιν ἐνδιατριπτέον. ὥσπερ ὁ
αὐτὸς ποιητὴς, τοῖς φαίαξιν οὖσιν φιλομύθοις,
πεποίηκε τὴν ὀδυσσέα μετὰ πολλῆς ἀκριβείας
καὶ σχολῆς τὰ καθ' ἑαυτὸν διηγούμενον. Σαφὴς
δὲ ἡ διήγησις γίνεται διχόθεν. ἐξ αὐτῶν τῶν ἀ-
παγγελλομένων πραγμάτων, καὶ ἐκ τῆς λέ-
ξεως τῆς ἀπαγγελίας, ἧς τὰ πράγματα. ἐκ μὲν
οὖν τῶν πραγμάτων, ὅταν λεγόμενα τὰ πρᾶγ-
ματα,

ματα, μὴ τὴν κοινὴν ἐκφεύγη διάνοιαν, οἷα
τὰ ἐν τῇ διαλεκτικῇ, καὶ τὰ ἐν γεωμετρίᾳ. ἢ
ὅταν μὴ πολλὰ ὁμοῦ διηγεῖταί τις, ἀλλὰ καθ' ἕ-
καστον εἰς τέλος προάγῃ, ὅπερ ἐγκαλοῦσί τινες
τῷ Θουκυδίδῃ. διελὼν γὰρ ἱστορίας, κατὰ τὰ θέ-
ρη, καὶ χειμῶνας, πολλάκις ἀναγκάζετο πρὶν
τελεσθῇ τὸ ὅλον πρᾶγμα, μεταβαίνειν ἐφ' ἕτε-
ρόν τι γεγονὸς ὑπὸ τὸν αὐτὸν καιρόν. εἶτα τὸ
ὑπόλοιπον τοῦ πράγματος, ἐφ' ἑτέρου χειμῶ-
νος, ἢ θέρους πραχθὲν διηγεῖται. γνίοτε δὲ καὶ
τρίτου καὶ τετάρτου καιροῦ ἐδεήθη, μέχρις ἂν εἰς
τέλος προέλθῃ τοῦ πράγματος, οὗπερ ἐξαρ-
χῆς διηγεῖτο, ἀεὶ τὰ καθ' ἕκαστον καιρὸν γινό-
μενα συλλαμβάνων τῇ πρώτῃ διηγήσει· ὥστε
ἅμα μὲν ἀσαφῆ, ἅμα δὲ δυσμνημόνευτα γε-
νέσθαι τὰ πράγματα. φυλακτέον δὲ καὶ τὸ
μὴ συγχεῖν οὐ χρόνους, καὶ τὴν τάξιν τῶν πρα-
γμάτων. ἔτι τε καὶ τὸ δὶς τὰ αὐτὰ λέγειν. οὐ-
δὲν γὰρ ἧττον τῶν ἄλλων, καὶ οὕτω συγχεῖ τὴν
διάνοιαν. παραιτητέον δὲ καὶ τὸ περικβάσεις
ἐπεμβάλλεσθαι μεταξὺ διηγήσεως, μακράς.
οὐ γὰρ ἁπλῶς χρὴ πᾶσαν παραιτεῖσθαι, κα-
θάπερ ὁ Φίλιστος· ἀναπαύει γὰρ τὴν διά-
νοιαν τῶν ἀκροατῶν, ἀλλὰ τὴν τηλικαύτην τὸ
μῆκος, ἢ τις ἀπαλλοτριοῖ τὴν διάνοιαν τῶν

ἀκροωμένων, ὥστε δεῖσθαι πάλιν ὑπομνήσεως τῶν προειρημένων, ὡς Θεόπομπος ἐν ταῖς Φιλιππικαῖς. δύο γάρ που, καὶ τρεῖς, καὶ πλείους ἱστορίας ὅλας κατὰ παρέκβασιν εὑρίσομεν, ἐν αἷς οὐχ ὅπως Φιλίππου, ἀλλ' οὔτε μακεδόνος τινὸς ὄνομά ἐστιν. ἀσαφὴς δὲ γίνεται διήγησις, παρὰ τὴν ἔλλειψιν ὧν ἐχρῆν ἀναγκαίως μνήμην ποιήσασθαι, καὶ παρὰ τὴν τῶν ἀπεκρυμμένων ἱστοριῶν ἀλληγορίαν. κατὰ δὲ τὴν λέξιν, φυλακτέον τοῦ σαφηνίζοντι, τὰ ποιητικὰ ὀνόματα λέγειν, καὶ πεποιημένα, καὶ τροπικὰ καὶ ἀρχαῖα, καὶ ξένα, καὶ ὁμώνυμα. ποιητικὰ μὲν οὖν ἐστιν, ὅσα τινὸς ἐξηγήσεως δεῖται. οἷον, κρήγυον αὐτιφερίζειν μάρνασθαι, καὶ τὰ τοιαῦτα. πεποιημένα δὲ, οἷον κέλαδος, κόναβος, κελαρύζει, καὶ τὰ τοιαῦτα. τροπικὰ δὲ οἷον, τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα ζεύς. διὰ γὰρ τῆς τροπῆς ταύτης, ἐσήμανεν ὁ πύθιος τοῖς ἀθηναίοις, ἐκλιπόντας τὴν πόλιν, εἰς τὰς ναῦς ἐμβῆναι, καὶ ταύταις οἷον τείχει χρήσασθαι. ἀρχαῖα δὲ τὰ πάλαι μὲν συνήθη, νῦν δὲ ἐκλελοιπότα, ὡς λέγει Δημοσθένης, ἐν τοῦ κατὰ ἀριστοκράτους, περὶ τοῦ δράκοντος νόμου τόδε. μήδ' ἀποιναῦν, μὴ χρήματα πράττεσθαι. τὰ γὰρ χρήματα, ἄποινα ὠνόμαζον

μαζον οἱ παλαιοί. ξένα δὲ, τὰ ἑτέροις μὲν ἀλλοχώρια, τοῖς δὲ ἄλλοις οὐ συνήθη, ὡς εἴ τις ἀγορὰν ὀνομάζει τὸν λιμένα, καθαπερ θετταλοὶ, ἢ κεῖνον, αὐτὶ τοῦ ἐρώμενον, ὡς κρῆτες. ὁμώνυμα δέ ἐστιν, ὧν φωνὴ μὲν, καὶ ὄνομα τὸ αὐτὸ, ἕτερον δὲ τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς· οἷον, παῖς. σημαίνει γὰρ καὶ τὸν υἱὸν, καὶ τὸν καθ' ἡλικίαν παῖδα, καὶ τὸν δοῦλον. ἀσαφῆ δὲ τὴν ἑρμηνείαν ποιεῖ καὶ ἡ λεγομένη ἀμφιβολία πρὸς τῶν διαλεκτικῶν, παρὰ τὴν κοινὴν τοῦ ἀδιαιρέτου τε, καὶ διηρημένου· ὡς ἐν τοῦ, αὐλητρὶς πεσοῦσα, δημοσία ἔστω. ἓν μὲν γάρ τι ἐστι, τὸ ὑφ' ἓν καὶ ἀδιαίρετον, αὐλητρὶς ἔστω πεσοῦσα, δημοσία· ἕτερον δὲ τὸ διηρημένον, αὐλητρὶς παῖς οὖσα, ἔστω δημοσία. ἔτι δὲ, καὶ ὅταν τι μόριον ἄδηλον ᾖ μετὰ τινος συντέτακται· οἷον, οὐκ ἐν ταύροις ὁ ἡρακλῆς μάχεται. σημαίνει γὰρ δύο· οὐχὶ κενταύροις ὁ ἡρακλῆς μάχεται, καὶ οὐχὶ ταύροις ὁ ἡρακλῆς μάχεται. ὁμοίως δὲ ἀσαφὴς γίνεται φράσις, καὶ ὅταν τι σημαῖνον μόριον ἄδηλον ᾖ, μετά τινος συντέτακται· οἷον, οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτοῦ ἡδὺ γένασαν. ἀμφίβολον γὰρ, πότερον ὠδὶ τοῦ θερσίτη ἀχνύμενοι, ὅπερ ἐστὶ ψεῦδος, ἢ ὠδὶ τῇ καθολικῇ τῶν νεῶν. καὶ πάλιν,

Δῆμον ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' ἀθή-
νη Θρέψε δυὸς θυγάτηρ. πότερον τὸν δῆμον,
ἢ τὸν ἐρεχθέα φησὶν ὑπὸ τῆς ἀθηνᾶς τραφῆναι,
καὶ τεκεῖν τὴν γῆν. πρὰ ταύτην δὲ τὴν ἀμ-
φιβολίαν, τὰ Ηρακλείτου τοῦ φιλοσόφου βιβλία
σκοτεινὰ γέγονε, κατακόρως αὐτῇ χρησαμένου,
ἤτοι ἐξεπίτηδες, ἢ καὶ δι' ἄγνοιαν. παρατη-
ρητέον δὲ, καὶ τὸ μὴ ὑπερβατοῖς χρῆσθαι, οἷα
ἐστὶ τὰ πολλὰ τῶν Θουκυδίδου. οὐ γὰρ καθόλου
τὸ τῶν ὑπερβατῶν γένος ἀπελοκιμάζομεν· ποι-
κίλη γὰρ διὰ τούτου, καὶ οὐκ ἰδιωτικὴ γίνεται ἡ
φρασις. μὴ δὲ μεταξυλογίαις, καὶ ταύταις διὰ
μακροῦ. τὰ γὰρ ἐγγὺς λαμβάνοντα τὴν ἀπόδο-
σιν, οὐ λυπεῖ σὺν ἀκροατάς. καὶ μέν τοι καὶ τὸ
ἐλλείπειν τινὰ ὀνόματα, πρὸς τὴν σαφήνειαν
ἐναντίον ἐστί. παραφυλακτέον δὲ καὶ τὸ πα-
ραλλήλοις τιθέναι τὰς πτώσεις, ὠδὶ διαφόρων
προσώπων. ἀμφίβολον γὰρ γίνετο, τὸ ἐπί τινα
φέρεσθαι· οἷον, ὠδὶ μὲν τῆς αἰτιατικῆς, ἐφ' ἧς πρὸς
καὶ μόνης τῶν πτώσεων, πολλοὶ γίνεσθαι τὴν ἀμ-
φιβολίαν νομίζουσιν, ὡς παρὰ Δημοσθένει κα-
τὰ μειδίου· ἴσασιν εὐαίωνα πολλοὶ τὸν λεωδά-
μαντος ἀδελφὸν ἀπεκτείναντα βοιωτὸν ἐν
δείπνῳ. ἄδηλον γὰρ, πότερον εὐαίων ἀπέκ-
τεινε βοιωτὸν, ἢ βοιωτὸς εὐαίωνα, ὅπερ ἔστι
ψεῦδος.

ψεῦδος. ἀλλὰ καὶ ὁ λεωδάμαντος ἀδελφὸς,
πότερον εὐαίων ἐστὶν, ἢ βοιωτὸς. ὠδὶ δὲ τῆς εὐ-
θείας, ὡς παρ' Ηροδότῳ, ἐν τῇ πρώτῃ· εἰσὶ δὲ
καὶ αἰγύπτιοι κολχοί· ἄδηλον γὰρ, πότερον οἱ
αἰγύπτιοι. τόδ' αὐτὸ καὶ ὠδὶ τῆς γενικῆς καὶ δο-
τικῆς. κολχῶν δὲ ὄντων αἰγυπτίων, καὶ κολχοῖς
δὲ οὖσιν αἰγυπτίοις. ὠδὶ μὲν οὖν τῆς αἰτιατικῆς,
ἀναμφισβήτητόν ἐστιν. ὠδὶ δὲ τῶν ἄλλων πτώ-
σεων, φανερὸν, ὅτι προσθέσει ἄρθρων οὐκ ἔτι ἀμ-
φίβολος γίνεται ἡ λέξις· εἰσὶ δὲ αἰγύπτιοι οἱ
κολχοί. δῆλον γὰρ γέγονεν, ὅτι περὶ κολχῶν
λέγει, ὡς εἰσὶν αἰγύπτιοι. ὁμοίως δὲ ἔσται καὶ συν-
τόμος ἡ διήγησις, ἐκ τῶν πραγμάτων καὶ τῆς
λέξεως. ἔστι γὰρ ἡ συντομία, λόγος τὰ καιριώ-
τατα τῶν πραγμάτων σημαίνων, μήτε προσ-
τιθεὶς τὸ μὴ ἀναγκαῖον, μήτε ἀφαιρῶν τὸ ἀ-
ναγκαῖον, κατὰ τὰ πράγματα καὶ τὴν λέ-
ξιν. ἐκ μὲν οὖν τῶν πραγμάτων, ὅταν μήτε συλ-
λαμβάνωμεν ἅμα τὰ πολλὰ πράγματα, μήθ'
ἑτέροις ἐπεμβάλλωμεν, παραλείπωμέν τε,
ὅσα συνυπακούεσθαι δοκεῖ, μήτε πόῤῥωθεν
ἀρχώμεθα, μήτε εἰς τὰ παρέλκοντα τὸν λό-
γον καταναλίσκωμεν, ὡς οἱ μετὰ τὰ πράγ-
ματα εἰωθότες διηγεῖσθαι. ταῦτα γὰρ ἂν ἴ-
σως ἱστορίᾳ πρέποι, τό, τε μηκύνειν, καὶ τὸ

 πόῤῥωθεν

πρόρρωθεν ἀρξεσθαι, καὶ ἐπεξεργάζεσθαί τινα τῶν παρεργων εἶναι δοκοῦντων. λέγουσι δὲ λέγων τινές, πρὸς τὸ κεφάλαιον τοῦ ὅλου πράγματος, ὃ προῦθεν, ἀκριβέστερον ὀφείλει, τὰ εἰς τοῦτο συντελοῦντα μόνα γὰρ τῇ λέξει παραλαμβάνων· οἷον, ὥσπερ τοῦ λύχνου. εἰ μέν τις ἱστορίαν περὶ αὐτοῦ συγγράφει, προσήκει καὶ τίνων προγόνων ἦν, καὶ τίνος πατρός τε καὶ μητρός, καὶ ἄλλα πάμπολλα λέγειν. τό, τε ἀγώνισμα, ὃ ἠγωνίζετο γὰρ ὀλυμπίασι, καὶ ὅσας νίκας ἀνείλετο, καὶ τὰς ὀλυμπιάδας ὀνομάζειν ἐφ' ὧν γὰνίκα. λέγομεν δέ τις περὶ αὐτοῦ λέγων, ὡδὲν τῶν τοιούτων ἀπεικολογεῖσθαι δίκαιόν ὄζι, καθάπερ ἐποίησεν Ηρόδοτός τε, καὶ Θουκυδίδης, ἑκάστου τὸ λυχνούχου ἀγωνείσασθαι προθέμενος. γὰρ δὲ τοῖς κατὰ τὴν λέξιν παρατηρητέον, καὶ τὸ μήτε συνωνύμοις χρῆσθαι. τὰ γὰρ τὴν αὐτὴν ἔχοντα δύναμιν ὀνόματα, μακρότερον ποιεῖ τὸν λόγον, ὡδὲν δέον· ὡς παρὰ Δημοσθένει γὰρ τῷ τὴν ὀλιγωρίακὴν δεινότητα, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἐοικυῖαν δυσργεσίᾳ. μήτε λόγον αὖτι ὀνόματος ποιεῖν· οἷον, αὖτι τοῦ ἀπέθανεν, ἔλιπε τὸν βίον, καὶ ὅσα τούτοις ὅμοια. ἔτι δὲ καὶ τὰ συνυπακούμενα παντὸς συμπληρωτέον, τῷ σαφῆ

συνόμως ἀπαγγέλλειν βουλόμενον. χρηστέον δὲ μᾶλλον τοῖς ἁπλοῖς ὀνόμασι, ἢ τοῖς σωθεῖσι, καὶ τοῖς βραχυτέροις μᾶλλον, ἢ τοῖς μακροτέροις, ὅταν τὸ αὐτὸ σημαίνωσιν. δυλακτέον δὲ ὅμως, μὴ λάθῃ τις ὑπερβυμίᾳ σωτομίας, εἰς ἀδιανοησίαν ἢ ἀσάφειαν ἐκπεσών. ἐπεὶ γε μὴν τὸ πιθανὸν εἶναι τὴν λέξιν, παραλειπτέον λέξεις μὲν προσφυεῖς τοῖς τε προσώποις, καὶ τοῖς πράγμασι, καὶ τοῖς τόποις, καὶ τοῖς καιροῖς. πράγματα δὲ ὅσα εἰκότα ὄζι, μὴ ἀλλήλοις ἀκόλουθα. λεῖ δὲ μὴ τὰς αἰτίας βραχέως προσπυθέσθαι τῇ λέξει, καὶ τὸ ἀπεσδόμενον πεσῶς λέγειν, καὶ ἁπλῶς σοχάζεσθαι προσήκειν τῷ πρέποντος, τῷ τε προσώπῳ καὶ τοῖς ἄλλοις στοιχείοις τῆς λέξεως, κατά τε τὰ πράγματα, καὶ κατὰ τὴν λέξιν. παράδειγμα δὲ ἡμῖν ἔσαι, τὸ μὲν ἀρχὴν τῆς διηγήσεως τοῦ Θουκυδίδου, πολὺ πλατυτέρων μὴ δικαίων λέγομεν. εἰκὸς γὰρ τοῖς δικαίοις ἀεὶ διαφέρειν ὄντας τοῖς πλατυσμοῖς, μαθόντας ὅτι ἔστι τὸ πόλεμος, ἐθελῆσαι προκαταλαβεῖν τὴν πλάτυσιν ἔτι μὲν εἰρήνης. ταῦτα δὲ βουλομένοις, ἐκ μὲν τοῦ φανεροῦ, μὴ ὠφελεῖν, νυκτὶ δὲ ἀσελήνῳ ὠφελῆσαι, καὶ πῶς τούτοις ἔχειν δικαίως πλατυτέρων, οἳ καὶ ἀνοίξασιν αὐτοῖς τὰς πύ-

λας, μηδεμιᾶς φυλακῆς προκαθεσηκυίας, ἀλλ᾽ τὰς ἀσονδ᾽ας. τούς τε προδιδόντας ἰδίᾳ ἕνεκα ἐχθρᾶ πρός τινας τῶν πολιτῶν, οὓς ᾤοντο ἀφανιεῖσθαι τρόπῳ γινομένῳ· ἀλλὰ μὴ τὸ τῶν θηβαίων προδοθῆναι. πιθανὸν δὲ, τὸ μὴ ἀεὶ φανομένους τοὺς πλαταιέας προκατειλημμένην τὴν πόλιν ἀφυλάκτως ὑπὸ τῶν πολεμίων, νομίσαί τε ἀπὸ τῆς νύκτα πολλῷ πλείους εἰσεληλυθέναι, πρὸς ξύμβασίν τε χωρῆσαι· ὕστερον δὲ κατανοήσαντας ὀλίγους ὄντας, ὑπιδέσθαι αὐτοῖς, καὶ θόρυβος δὲ πάνυ πιθανώτατος τῶν μὲν πλαταιέων προσβαλόντων τοῖς θηβαίοις, καὶ τῶν γυναικῶν, καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν, λιθαυγῆ τε καὶ ὀλολυγῆ χρωμένων, λίθοις τε καὶ κεράμοις βαλόντων τοὺς θηβαίους, ἐν ὑετῷ πολλῷ ὑπογνόντων νυκτὸς, πολλοὺς τῶν θηβαίων λιπεῖν τε τηλῷ ἐν σκότει ἀπιόντας, ἀπειρίᾳ δὲ τῶν ὁδῶν ὀλίγους διαμένοντας ἐκφυγεῖν. πιθανὸν δὲ τὸ καὶ κλεῖσαί τινα τὰς πύλας, συρακίῳ ἀκοντίου αὐτὶ βαλάνου χρησάμενον εἰς τὸν μοχλόν. πολὺ δὲ πιθανώτερον, τὸ, ἐπὶ λούσης γυναικὸς τέλεσιν. εἰκὸς γὰρ ἦν, γυναῖκα πρὸς ἐρήμοις πύλαις οἰκοῦσαν, θεασαμένην τοὺς πολεμίους ἀρκεκλεισμένους, φοβηθεῖσαν μὴ ἀπελπίσαντας τὴν σωτηρίαν,

ρίαν, ἐν εἰς ἀπόνοιαν ὁρμήσαντας, βαπίδας ὧν τὸ ἀκακῶς ποιεῖν, μᾶλλόν τε μὲν οὖν οὓς ἐὰν δύνωνται, πολὺ ἐν πρότερον τὰς πλησίον οἰκίας. ἐὰν γὰρ, ὅτι κατὰ γυναῖκα ἦν, ἐλεήσας, καὶ πολεμίους νενικημένους· ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ μακρολογῶμεν. ὁ μονοειδὴς δὲ τοῦ ἀγῶνος ἡ γυμνασία, ἀλλὰ καθάπερ ὁ μῦθος, καὶ ἀπαγγέλλεται, καὶ κλίνεται, καὶ συμπλέκεται μύθῳ, συστέλλεταί τε καὶ ἐκτείνεται. ἔστι δὲ κατὰ τὴν ἀπαγγελίαν ἐναλλὰξ ἡμῶν τῷ κεφαλαίῳ τῷ τάξει, καὶ πρὸς τόπος † καὶ τῷ αὐτῷ τάξει φυλάττουσι, κατὰ πολλοὺς καὶ ποικίλους τρόπους ποιεῖσθαι τὴν φράσιν. ἔξεστι δὲ καὶ ὑπαφωνεῖν ἀλλήλου μόνον, καὶ συμπλέκειν ἀλλήλοις δύο, ἢ ἐν ῥῆσις ἀλλήλοις, κατὰ τὴν ἀπαγγελίαν. ἐφ᾽ ἅπασι δὲ τό, τε ἀνασκευάζειν, καὶ κατασκευάζειν. πρὸς μὲν οὖν ἀπαγγελίας, καὶ κλίσεως, καὶ συμπλοκῆς, ἔτι δὲ συστολῆς τε καὶ ἐπεκτάσεως, ἐν τοῖς πρὸς μύθῳ εἴρηται. τὴν δὲ ἀναστροφὴν τάξεως, πολλαχῶς ποιησόμεθα. ἐν γὰρ ἀπὸ τῶν μέσων ἐστὶν ἀρξάμενον, ὧν τὴν ἀρχὴν ἀναβαλέσθαι, ἐστὶ ὧν τὰ τελευταῖα κατασῶσαι, ὅπερ ἐν ὀδυσσείᾳ Ὁμηρος ποιήκεν· ἤρξατο γὰρ ἀπὸ τῶν χρόνων, καθ᾽ οὓς ἀ-

† πόπις εἰπὼ

ὀλυσεὺς ἰῶ παρὰ καλυψοῖ, ἔπα αὐέδραμε
ὧῒ τῆὶ ἀρχῆὶ μετά ἰνΘ οἰκονομίας γλαφυ-
ρᾶς. ἐποίει γὰρ ἡ ὀλυσέα ζῖς φαίαξι τὰ καθ'
ἑαυτὸν δ' ἰηγέμενον, ἔπα σωαφας τῆὶ λοι-
πῆὶ δλίγησιν, ἔλαξεν εἰς τὰ τελευταῖα μέ-
ρει οὗ μνησῆρας ἀπέκτεινεν ὀλυσεὺς, καὶ
πῶς οὗ γονέας αὐτῶν φιλίαν ἐποίησαν. ἡ
Θουκυδίδης δὲ ἀπὸ τῶν πρὸ ἐπίδαμνον ἀρξά-
μενΘ, αὐέδραμεν ὑῶῒ τῆὶ πρωτηκοντατε-
τίαν, ἔπειτα καπῆλθεν ὧῒ τὸν πελοποννη-
σιακὸν πόλεμον. ἔξεσι δὲ καὶ ἀπὸ τῶν τελευ-
ταίων ἀρξάμενον, ἐλθεῖν ὑῶῒ τὰ μέσα, καὶ ὅ-
πως ὑῶῒ τῆὶ ἀρχῆὶ καταντῆσαι· ὅπερ Ηρόδο
τΘ ἀπὸ τῆ τρίτης ἡμᾶς διδάσκει, λέγων ὅ-
τω· πέμψας καμβύσης εἰς αἴγυπτον κήρυκα,
αἴτε ἄμασιν θυγατέρα, αἴτε ἑκσυμβολῆς
ἀνδρὸς αἰγυπτίε, ὃς μεμφόμενΘ ἄμασιν, ἔ-
πραξε ταῦτα, ὅτι μιν ἀρπάσας γυναικός τε
καὶ τέκνων, ἔπλοτον ἐποίησεν εἰς πέρσας. εἶ-
τα καὶ τὰ αἴτια δηγεῖται· ὅτι ὁ ἦν πορσῶν
βασιλεὺς, ἥκει παρὰ τὸν αἰγυπτίων βασι-
λέως ἰατρὸν ὀφθαλμῶν, ὃς ἔπαρῖςΘ. ἡ γὰρ
κατὰ φύσιν ἰῶ τάξις ἦ δηλήσεως, πρῶ-
τον μὲν τῆὶ ὀφθαλμίαν ἐπεῖν τὸν πορσῶν
βασιλέως, καὶ ὡς πέμψας εἰς αἴγυπτον, ἥτε-

σε

σε παρὰ τὸν βασιλεύοντΘ ἐκεῖ ἰατρὸν ὀφ-
θαλμῶν. ὁ δὲ, ἐξ ὄρυ αὐαπέμπῃ. ἔπειτα ὅτι χα
λεπῶς φέρων ὁ ἰατρὸς, γυναικός τε καὶ παί-
δων ἀπολειφθεὶς, ἐμάνατο μὲν ἐκ πλόντα, συμ
βουλεύσας δὲ πορσῶν βασιλεῖ, αἰτῆσαι θυ
γατέρα παρὰ τὸν αἰγυπτίων βασιλέως, ἵναῖῆ
λους αὐιῶτο, ἢ μὴ λους ἀπέχθοιτο. ἔτι δὲ καὶ
ἀπὸ τῶν μέσων ἀρξάμενον, ὧῒ τῆὶ τελευτῆὶ
ἐλθεῖν, ἔπα γὰ ζυζεις λῆξαι. καὶ παλιν ἀπὸ
τῶν τελευταίων ἀρξάμενον, αὐαβραμεῖν ὧῒ
τῆὶ ἀρχῆὶ, καὶ λῆξαι εἰς τὰ μέσα. καὶ ἔτι ἀπὸ
τῶ πρώτων ἀρξάμενον, μεταθεῖναι ὧῒ τὰ τε-
λευταῖα, καὶ γὰ τῆς μέσοις παύσαθαι. καπὲ
μὲν οὖν τῆὶ αὐαστροφῆὶ τῆ τάξεως, οὕτως.
ἐπεὶ δὲ εἰώθαμεν ἐκφέρειν τὰ πράγματα, ἐ-
νίοτε μὲν ὡς ἀποφαινόμενοι, γνίοτε δὲ ὡς
πλέον τι τῆ ἀποφαίνεσθαι ποιοῦντΘ, καὶ
γνίοτε μὲν ὡς ἐρωτῶντΘ, ἄλλοτε δὲ ὡς
πυνθανόμενοι. ἐᾶῒ ὅτε δὲ, ὡς ἐπαπορεῖ-
τΘ, καὶ ἄλλοτε μὲν ὡς προστάτοντΘ, ἄλλο
τε ἢ ὡς διχόμενοι· ἡ ποτε μὲν ὡς ὁμνύοντες,
ποτε δὲ ὡς ἀπαρνούντΘ, ἄλλοτε δὲ προσ-
τιθέμενοι, ποτε δὲ προσδιαλεγόμενοι. γνδέ-
χεται γὰρ κατὰ πάντας τούτους τοὺς τρό-

πους

πους εἰσφέρειν, ποικίλλοντας τὰς λιτανήσεις. Θουκυδίδης μὲν οὖν ἐν ἀρχῇ τῆς διηγήσεως τῶν Ἑλληνικῶν, διὰ τὸ μὴ ἀφανισθῆναι τὸν τρόπον, ἀναγκαίαν τὴν λιτανησιν ταύτην Θηβαίων ἄνδρων, ὀλίγῳ πλείονς τριακοσίων, εἰσπλεῦσαι τε εἰς τὸν ὑπνον σὺν ὅπλοις εἰς πλάταιαν τῆς Βοιωτίας, οὖσαν αὐτονόμων συμμαχίδα· καὶ τὰ ἑξῆς. ἡμεῖς δὲ εἰ βουλοίμεθα πλέον τι τὸν ἀφανισμὸν ποιεῖν, οὕτως ἐροῦμεν. μεγάλων ὡς ἔοικε πραγμάτων αἰτία γέγονεν Ἀθηναίοις, καὶ λακεδαιμονίοις, καὶ τοῖς ἀμφοτέροις συμμάχοις, Θηβαίων εἰς πλάταιαν ἄφιξις· Θηβαίων γὰρ ἄνδρων, ὀλίγῳ πλείους τριακοσίων, εἰσπλεῦσαι νυκτὸς ὑπνου σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας· καὶ οὕτω τὰ λοιπὰ τῆς λιτανήσεως σωζόμεν. εἰ δὲ ἐρωτᾷεν βουλοίμεθα, οὕτως ἐροῦμεν· ἆρά γε ἀληθὲς ὄνειρ, ὅτι Θηβαίων ἄνδρων ὀλίγῳ πλείους τριακοσίων, εἰσπλεῦσαι νυκτὸς ὑπνου σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας. καὶ οὕτως ἐρωτώμενοι ἴσως τὰ μεταταῦτα λιελυσόμεθα· οὔπω γὰρ ἴσμεν τινὲς ἦσαν οἱ Θηβαίων ἄνδρες, οἱ ὀλίγῳ πλείους ἦσαν τριακοσίων, εἰσπλεῦσαί τε νυκτὸς ὑπνου σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας· καὶ τὰ λοιπὰ τὰ ἐπιπλεκόμενα

νοι ἐπίσομλν. τὸ δὲ ἐπαπορεῖν, καὶ τὸ ἐρωτᾶν, διὰ τὰ μὲν τὴν διαφοράν, οὐδὲν ἀλλήλων διήνεγκε. διόπερ ἀμφοτέρῳ αὐτῶν ἀρκεσθήσόμεθα, ἐάν τε γὰρ ἐρωτῶμεν, ἐάν τε ἐπαπορῶμεν, ὅτως ἔχοίσομεν· ἆρ' ἔστι ταῦτα ἀληθῆ ἐν τῇ ῥητορικῇ λαλίσατον. διαφέρειν δὲ δοκεῖ, ὅτι ὁ μὲν ἐρωτῶν, ἀποκρίσιν ζητεῖ· ὁ δὲ ἐπαπορῶν, οὐ ταύτης, ἀλλὰ μόνον πρὸς ἑαυτὸν ἀπορεῖ. εἰ δὲ προσάπτειν βουλοίμεθα, οὕτω ποιήσομεν. ἐνθυμησόμεθα γὰρ ἐν τοῖς τελευταίοις τῆς διηγήσεως, μετὰ τὴν τῶν εἰσελθόντων εἰς πλαταίας αἵρεσιν, ἵνα τινὰ παραινοῦντε, ἢ τοῖς Θηβαίοις, ἢ τοῖς πλαταιεῦσιν, οὕτως· ἄγε τε ὦ πλαταιεῖς, ὅπως ἄξιοι τῆς πόλεως ἔσεσθε, καὶ τῶν προγόνων πρὸς πέρσας τε καὶ μαραθόνιον ἀγωνισμένων, καὶ τὴν ἐν τῇ χώρᾳ τῇ ἡμετέρᾳ ἁμιλλῶν λάβετε τοῖς Θηβαίοις, ὃν μὴ δίκαια ποιοῦσιν, ἀξιοῦντος μὲν ὑμᾶς σῴζειν ὑπακούειν καὶ δουλεύειν, οὐκ ἐθέλοντας δὲ, πολέμῳ βιαζομένοις παρὰ τοὺς ὅρκους, καὶ τὰς σωθήκας ὀλίγῳ πλείους τριακοσίων. εἶτα εἰσπλεῦσαι πρὸς πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πόλιν τὴν ὑμετέραν, οὖσαν αὐτονόμων συμμαχίδα. καὶ ὡσαύτως τὰ ἑξῆς, ὡς πρὸς πλαταιεῖς διηγήσομαι, εἰ δὲ σωθήσόμεθα τὴν παρελθοῦσαν

ρακέλευσιν γίνεσθαι πρὸς τοὺς θηβαίους, οὕτως ἐροῦμεν· ἄγετε ὦ θηβαῖοι, ὅπως φανήσεσθε αὐτῶν τε, καὶ τῶν πατέρων ἄξιοι, καὶ τῆς ἀρχῆς, ἣν ἕξετε, συμπάσης τῆς βοιωτίας, καὶ δείξατε τοῖς πλαταιεῦσιν, ὅτι δ' οὗλοι ὄντες ὑμέτεροι, οὐ μόνον ἀποδεδράκασι πρὸς ἀθηναίους, ἀλλὰ καὶ ἄνδρας ὑμετέρους ὀλίγω πλείους τριακοσίων, ἐλθόντας περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς τὴν πλάταιαν τὴν ἑαυτῶν, διέφθειραν. καὶ τοῦτον τὸν τρόπον, καὶ τὰ λοιπὰ διηγησόμεθα. ἔστι δὲ καὶ οὕτω πρόσταξιν ποιήσασθαι, εἰ ὑποθώμεθά τινα τοῖς θηβαίοις, πρὶν γενέσθαι τὴν εἰς πλάταιαν εἴσοδον προστάττοντα, ἃ δὴ καὶ ἔπραξαν· ἄγετε ὦ θηβαῖοι, ὅπως ἄνδρες ἐξ ὑμῶν ὀλίγω πλείους τριακοσίων εἰσέλθωσι περὶ πρῶτον ὕπνον σὺν ὅπλοις ἐς πλάταιαν τὴν ὑμετέραν, νῦν δ' οὖσαν ἀθηναίων συμμαχίδα· καὶ τὰ ἑξῆς, ὡς ἂν ἐνδέχηται, κατὰ τοῦτον τρόπον διεξελευσόμεθα. εἰ δὲ εὐχόμεθα, οὕτως ἐροῦμεν· εἴθε μηδέ ποτε θηβαίων ἄνδρες ὀλίγω πλείους τριακοσίων, εἰσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας, οὖσαν ἀθηναίων συμμαχίδα· καὶ μέχρι τέλους, κατὰ τὸν τοῦ εὐχομένου τρόπον διηγησόμεθα. οὐκ

ἄδηλος

ἄδηλος δὲ ὁ τρόπος, πῶς κατὰ τὴν ὀνομαστικὴν προφορὰν ἡ διήγησις ἐξενεχθήσεται. τὴν δὲ προσαγορευτικὴν παραιτούμεθα, ὅτι καὶ πρότερον, ὑπὲρ τῶν κατὰ τὰς πτώσεις ἐγκλίσεων, ἤδη παραδεδώκαμεν ὑπὲρ τῆς κλητικῆς. ὑποτιθέμενοι δὲ, οὕτως ἐροῦμεν· ὑποθώμεθα γὰρ θηβαίων ἄνδρας, ὀλίγω πλείους τριακοσίων, εἰσελθεῖν περὶ πρῶτον ὕπνον σὺν ὅπλοις εἰς πλάταιαν τῆς βοιωτίας, οὖσαν ἀθηναίων συμμαχίδα, ἀνέωξαν αὐτοῖς τὰς πύλας, ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ ἔθεντο εἰς τὴν ἀγορὰν τὰ ὅπλα. ὁμοίως δὲ καὶ τὰ ἑξῆς. καὶ παρὰ Δημοσθένει· ἀμφίπολιν, πύδναν, ποτίδαιαν, ἁλόννησον, οὐδενὸς τούτων μέμνημαι. ἔτι καὶ πάλιν· ἀλλ' ἐφ' ἑλλήσποντον οἴχεται. πρότερον ἧκεν ἐπ' ἀμβρακίαν· ἥλιν ἔχει, τηλικαύτην πόλιν ἐν πελοποννήσῳ. μεγάροις ἐπεβούλευσε πρώην. ἔστι δὲ καὶ τούτους ἀλλήλοις ὑπὲρ πλέκειν τοὺς τρόπους, καὶ μικτὸν ἐκδυοῖν, ἢ πλειόνων ποιεῖν. ὡς τοῦ διηγήματος, τὰ μὲν ἀπαγγεῖλαι κατὰ τὸν τοῦ ἀπαγγαινομένου τρόπον, τὰ δὲ ἀσυνδέτως, τὰ δὲ ὅπως ἄν τις βούλοιτο ποικίλλων τῆς φράσιν. ὑπὲρ φωνεῖν δὲ διηγήσει ἐστὶ, τὸ καθ' ἕκαστον μέρος τῆς διηγήσεως γνώμην ὑπὲρ λέγειν. τὸ δὲ τοιοῦτον, οὐδ' ἱστορίᾳ

πρέπον

πρέπον ἐστὶν, ὅτε πολιτικῷ λόγῳ· θεάτρῳ δὲ,
καὶ σκηνῇ μᾶλλον ὑπαρτήδειον. διὸ καὶ παρὰ
τοῖς τοιούτοις ποιηταῖς, ὑπαρπλεῖστόν ἐστιν, ὡς πα-
ρὰ Μεναύδρῳ πολλαχοῦ μὲν ἀλλαχόθι, καὶ ἐν
ἀρχῇ δὲ τοῦτε δαρδάνου, καὶ τοῦ ξενολόγου·
αὐδρὸς πένητος υἱὸς ἐκτεθραμμένος, οὐκ ἐξ
ὑπαρχόντων ὁρῶν ἠσχύνετο τὸν πατέρα μι-
κρ' ἔχοντα. παιδευθεὶς γὰρ εὖ, τὸν καρπὸν
εὐθὺς ἀπεδίδου χάριτος καλόν. ὁ γὰρ τελευ-
ταῖος στίχος, ἐκ περιττοῦ πρόκειτ', θηρώμενος
μόνον, τὸν παρὰ τῶν θεατῶν ἔπαινον. ὅταν μὲν
τοι συνεχῶς ἐγκαταμιγνύῃ τις, καὶ λανθάνῃ
ταῦτα τὰ γνωμικὰ, ὑπαρχαρίς πως ἡ διήγησις
γίνεται, ὡς παρὰ Ηροδότῳ ἐν τῇ πρώτῃ. λέ-
γων γὰρ περὶ τοῦ ἀνθρωπείου βίου, ὡς οὐκ ἔστι σα-
θερὸς, ἀλλὰ πολλὰς ἑαυτοῦ ἔχει τὰς μεταβο-
λὰς, ἔπειτα ἐξαριθμησάμενος ὅσων ἡμερῶν
ἐστὶν ἀνθρωπίνη ζωὴ, ὡς ἑβδομήκοντα ἔτη, ἐ-
πιφέρει· τούτων τῶν ἁπασέων ἡμερέων, ἡ ἑτέ-
ρη αὐτέων, τῇ ἑτέρῃ ἡμέρῃ τὸ παραπαν, οὐδὲν
ὅμοιον εἰσάγει πρῆγμα. εἶτα ὑπαρφωνεῖ οὕτω τὸν
τρόπον· οὕτως ὦ κροῖσε, πᾶς ἐστὶν ἄνθρωπος
καὶ ὡς συμφορῇ. † οἷος ὁ γύγης πρὸς τὸν κανδαύλιν
λέγει· δέσποτα, τίνα λόγον ἔχεις οὐχ ὑγιέα, κε-
λεύων δέσποιναν τὴν ἐμὴν θεήσασθαι γυ-
μνήν.

μνήν. ἅμα δὲ χιτῶνι ἐκδυομένῳ, συνεκδύετ'
καὶ τὴν αἰδὼ γυνὴ. καὶ μὴν καὶ παρὰ τοῖς ῥή-
τορσιν εὕροιμεν ἄν. οὐχ ἥκιστα καὶ παρὰ τῷ πο-
λιτικωτάτῳ Δημοσθένει, καὶ ἐν τοῖς πολιτικω-
τάτοις αὐτοῦ λόγοις. ἐν γὰρ τοῦ δευτέρου τῶν
ὀλυνθιακῶν διηγούμενος περὶ τοῦ φιλίππου,
ὅτι περὶ αὐτὸν ἔχει μίμους γελοίων, καὶ ποιη-
τὰς αἰσχρῶν ἀσμάτων, καὶ οὓς γε ἡ πόλις ἀθη-
ναίων ἐξέβαλεν ὡς ἀσελγεστάτους ὄντας, καὶ
ὅτι τοιοῦτος ὢν φίλιππος, εἰκότως λανθά-
νει πάντας ἀνθρώπους, τοῦ κατορθοῦν ἐν τοῖς
πολέμοις, μετὰ ταῦτα ὑπαρφωνεῖ. αἱ γὰρ εὐ-
πραξίαι, δειναὶ συγκρύψαι, καὶ συσκιᾶσαι
τὰ τοιαῦτα ὀνείδη. ἔστι δὲ καὶ ἀνάπαλιν, προ-
θέντα γνωμικὸν λόγον, διηγήσασθαι. καθάπερ
καὶ ὑπὲρ τοῦ μύθου παρεσημειωσάμεθα· οἷον καὶ
παρὰ Μεναύδρῳ, ἐν τῇ χρηστῇ ὑπαρκλήρῳ,

Ἆρ' ἐστὶ πάντων ἀγρυπνία λαλίστατον. εἶτα
ἑξῆς τὸ διήγημα. ἐμὲ γοῦν ἀναστήσασα δευρὶ
προάγεται λαβεῖν ἀπ' ἀρχῆς πάντα τὸν ἐ-
μαυτοῦ βίον. διήγησιν δὲ διηγήσει συμπλέ-
κειν ἐστὶν, ὅταν δύο διηγήσεις, ἢ καὶ πλείους ἅ-
μα διηγεῖσθαι ὑπαρχειρῶμεν. οὗτος δὲ μάλα ὑπα-
τήδευσαν οἱ ἀπὸ Ισκράτους, καὶ ὁ αὐτὸς Ισκρά-
της ἐν τοῦ πανηγυρικῷ, οὕτως· ἦλθον

οἷόν ἡρακλέους παῖδλον. καὶ μικροῦ πρὸ τούτων, ἄθλους ὁ παλάθου, βασιλεὺς ὢν ἀργους. οὗτος μὲν ἐκ τῆς στρατείας τῆς ὧν θήβας δεδυσυχηκώς, καὶ τὰ ἑξῆς. καὶ πάλιν ἐπὶ γὰρ ταπεινῆς οὔσης τῆς ἑλλάδος, ἦλθον εἰς τὴν χώραν ἡμῶν, θρᾷκιον μὲν μετὰ δυμόλπου τοῦ ποσειδῶνος, σκύθαι δὲ μετὰ ἀμαζόνων, τῶν ἄρεως θυγατέρων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, καὶ τὰ ἑξῆς. καὶ περὶ μὲν τὸν τρόπον τῆς γυμνασίας, τοσαῦτα· καὶ ὅτι κατ' αὐτὸν ἀναγκαῖον ὅτι γυμνάσασθαι χρὴ τοὺς μύθους.

ΠΕΡΙ ΧΡΕΙΑΣ.



ΧΡΕΙΑ ὅτι, σύντομος ἀπόφασις, ἢ πρᾶξις, ἀναφερομένη μετ' ὀνομάτος εἴς τι ὡρισμένον πρόσωπον, ἢ ἀναλογοῦν προσώπῳ. παραλαμβάνεται δὲ αὐτῆς, γνώμη, καὶ ἀπομνημονεύματα. ἔστι γὰρ γνώμη σύντομος, εἰς πρόσωπον ἀναφερομένη, χρείαν ποιεῖ. καὶ τὸ ἀπομνημόνευμα δέ, πρᾶξίς ὅτιν, ἢ λόγος βιωφελής. διαφέρει δὲ ἡ μὲν γνώμη τῆς χρείας, τέτρασι τοῖσδε· τῷ τὴν μὲν χρείαν πάντως ἀναφέρεσθαι εἰς πρόσωπον, τῆς δὲ γνώμης ὁ παύτως, καὶ τῷ, ποτὲ μὲν τὸ καθόλου, ποτὲ

ἢ τὸ ὧδε μέρος ὑποφαίνεσθαι τῆς χρείας ἐνίοτε μηδὲν ἔχουσαν βιωφελές· τὴν δὲ γνώμην ἀεὶ πρὸς τὸν τοῦ βίου χρησίμων εἶναι· τέταρτον, ὅτι ἡ μὲν χρεία, πρᾶξις, ἢ λόγος ὑφάρχει, ἡ δὲ γνώμη, λόγος ὅτι μόνον. τὸ δὲ ἀπομνημόνευμα, ἐάν ὅτε ἐπεκτείνεται, καὶ ἡ μὲν ἀναφέρεται εἴς τινα πρόσωπα, τὸ δὲ ἀπομνημόνευμα καὶ καθ' ἑαυτὸ μνημονεύεται. εἴρηται δὲ χρεία, κατ' ἐξοχήν, ὅτι μᾶλλον τῶν ἄλλων πρὸς πολλὰ χρειώδης ὅτι τοῦ βίου. καθάπερ καὶ ὁμήρου, πολλῶν ὄντων ποιητῶν, κατ' ἐξοχὴν οὕτως μόνον καλεῖν εἰώθαμεν ποιητήν. τῆς δὲ χρείας τὰ αὐτοτάτω γένη, τρία. αἱ μὲν γάρ εἰσι λογικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ μικταί. λογικαὶ μέν εἰσιν, αἱ χωρὶς πράξεως ἁπλῶς λόγων ἔχουσαι τὸ κῦρος· οἷον, διογένης ὁ φιλόσοφος ἐρωτηθεὶς τίνων ὢν ὢν εἴη ἄδολος γένοιτο; ἀπεκρίνατο, ὅτι ἥκιστα πλήξης φροντίζων. τῶν δὲ λογικῶν, εἴδη δύο· ἀποφαντικόν, καὶ ἀπορητικόν. τὸ δὲ ἀποφαντικόν, αἱ μέν εἰσι καθ' ἑκάστου ἀπόφασιν· οἷον, ἰσοκράτης ὁ σοφιστὴς τοὺς σὺν φύσεις ὄντας μαθητὰς, θεῶν παῖδας ἔλεγεν εἶναι. αἱ δὲ πρὸς τι πρός τι· οἷον, διογένης ὁ κυνικὸς φιλόσοφος ἐρωτηθεὶς μῆ πλήσιον ἀπαίδευτον, εἶπεν, ἑτέρου ὅτι ῥύπος πορισμοῦ. οὐ γὰρ ὁ διογένης

ἁπλῶς ἀπεφήναντο, ἀλλ' ἐξ ὧν εἰσὶν. ἔτι ἡ τῶν ἀρχεῖλεω εἰσὶν εἴδη τέσσαρα. τό, τε κατ' ἐρώτησιν, καὶ τὸ κατὰ πύσμα, καὶ τὸ κατ' ἐρώτησιν αἰτιῶδες, καὶ τὸ ὁμωνύμως τῷ γνῶ λεγόμενον ἀρχιτικόν. διαφέρει δὲ τὸ πύσμα τοῦ ἡ ἐρώτησις, ὅτι πρὸς μὲν τὴν ἐρώτησιν, συγκατατίθεσθαι δεῖ μόνον, ἢ ἀρνήσασθαι, οἷον ἀναινεῖσθαι, ἢ κατανεῖσθαι, ἢ διά γε τοῦ ναὶ, ἢ τοῦ οὔ, ἀποκείνασθαι. τὸ δὲ πύσμα, μακροτέραν ἀπαιτεῖ τὴν ἀπόκρισιν. κατ' ἐρώτησιν μὲν οὖν ἐστὶν, οἷον πιθανὸς ὁ μιτυληναῖος ἐρωτηθείς, εἰ λανθάνει τινὰς ὢν θεὸς φαῦλόν τι ποιῶν, εἶπεν οὔ, οὐδὲ διανοούμενος. μετὰ γὰρ τὴν ἀπόφασιν τὸ προστιθέμενον, πρόσεστιν ὅτι ἐπεὶ καὶ ἀφαιρεθήτω αὐτοῦ, ἐπήρκει ἡ ἀπόφασις. ἡ δὲ πυσμαλικὴ, διαύτη ἐστὶν· οἷον θεανὼ ἡ πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα ὑπό τινος, ποία γυνὴ ὑπ' ἀνδρὸς καθαρὰ εἰς τὸ θεσμοφορεῖον καθίσειν, εἶπεν, ἀφ' μὲν τοῦ ἰδίου παραχρῆμα, ἀφ' δὲ τοῦ ἀλλοτρίου οὐδέποτε. αἱ δὲ κατ' ἐρώτησιν αἰτιώδεις εἰσὶν, ὅσαι χωρὶς τοῦ πρὸς τὴν ἐρώτησιν ἀποκρίσεως, καὶ αἰτίαν τινὰ ἔχουσιν, ἢ συμβουλὴν, ἢ τι τοιοῦτον· οἷον σωκράτης ἐρωτηθείς, εἰ δύναίμην αὐτῷ δοκεῖ ὁ τῶν πορσῶν βασιλεὺς; οὐκ ἔχω λέγειν,

γειν, εἶπε. μὴ δὲ γὰρ εἰδήναι, πῶς ἔχει παιδείας. ἀρχειλικαὶ δέ εἰσιν, αἱ μήτε κατ' ἐρώτησιν, μήτε κατὰ πύσμα, λόγον δέ τινα ἔχουσαι, πρὸς ὃν ὄνειν ἡ ἀπόκρισις· οἷον πλάτων τὸν διογένους ἀρισώνυμον ἐν ἀγορᾷ, καλὸν τὸν αὐτὸν ὠδὶ τὸ ἄρισον, ὦ διόγενες (εἶπεν) ὡς χάριεν αὖ μοῦ τὸ ἄπλασον, εἰ μὴ πλασὸν ἦν. οὔτε γὰρ διογένης πρίζων ἠρώτα τὸν πλάτωνα, οὔτε ὁ πλάτων ἐμάνθανε παρ' αὐτοῦ, ἀλλ' ἁπλῶς πως τὸ ἄρισον καλεῖ αὐτὸν, ὅπερ ἔστι τὸ ἀνάλετρον. ἔστι δὲ παρὰ ταῦτα καὶ ἄλλο εἶδος, ἐμπίπτον εἰς τὰς λογικὰς, καλούμενον διπλοῦν. διπλῆ δέ ὅτι χρεία, ἢ δύο προσώπων ἀφορμὰς ἔχουσα, ὧν καὶ ἡ ἑτέρα μεθ' ἑνὸς προσώπου, χρείαν ποιεῖ· οἷον, ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, ὠνησάς διογένει διοιμωμένῳ εἶπεν, οὐ χρὴ πανυχίου εὐδειν βουληφόρον ἄνδρα. καὶ ὁ διογένης ἀπεκρίνατο, ᾧ λαοί τ' ὦπτε τράφωσι, καὶ τόσα μέλῃ. ἦν γὰρ καὶ οὕτω χρεία μὴ προστιθεμένης τῆς ἀπορίσεως. πρακτικαὶ δέ εἰσιν, αἱ χωρὶς λόγου ἐμφαίνουσαί τινα νοῦν. τῶν δὲ πρακτικῶν, αἱ μὲν εἰσὶν ὀργητικαὶ, αἱ δὲ παθητικαὶ. ὀργητικαὶ μὲν, ὅσαι δηλοῦσί τινα γνώμην· οἷον διογένης ὁ κυνικὸς φιλόσοφος,

ἰδὼν ὀψοφαγον παῖδα, τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ ἔπαισε. παθιτηκὰ δὲ, αἱ πάθός τι σημαίνουσαι· οἷον, δίδυμος ὁ αὐλητὴς ἁλοῦς ὑπὸ μοιχείᾳ, ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη. μικταὶ δὲ εἰσιν, ὅσαι τοῦ μὲν λογικοῦ, καὶ τοῦ πρακτικοῦ κοινωνοῦσιν, ἐν δὲ τῷ πρακτικῷ τὸ κῦρος ἔχουσιν. οἷον, πυθαγόρας ὁ φιλόσοφος, ἐρωτηθεὶς πόσος ἐστὶν ὁ τῶν ἀνθρώπων βίος; ἀναβὰς ὑπὸ τὸ δωμάτιον, παρέκυψεν ὀλίγον, δηλῶν διὰ τοῦτο τὴν βραχύτητα. καὶ ἔτι λαγκων, ἐρομένου τινὸς αὐτὸν, ποῦ τοὺς ὅρους τῆς γῆς ἔχουσιν λακεδαιμόνιοι; ἔδειξε τὸ δόρυ. τὰ μὲν οὖν εἴδη τῶν χρειῶν, ταῦτά ἐστιν. πεφέρονται δὲ, αἱ μὲν γνωμολογικῶς, αἱ δὲ ἀποδεικτικῶς, αἱ δὲ κατὰ χαριεντισμὸν, αἱ δὲ κατὰ συλλογισμὸν, αἱ δὲ κατὰ ἐνθύμημα, αἱ δὲ κατὰ παραδειγμα, αἱ δὲ κατ' εὐχὴν, αἱ δὲ συμβολικῶς, αἱ δὲ τροπικῶς, αἱ δὲ κατὰ ἀμφιβολίαν, αἱ δὲ κατὰ ἀντίληψιν, αἱ δὲ συνεζευγμένως, ἐξ οἵων δή ποτε τῶν προειρημένων τρόπων συγκείμεναι. γνωμολογικῶς μὲν, οἷον, βίων ὁ σφιστὴς, τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι. ἀποδεικτικῶς δὲ, οἷον Ισοκράτης ὁ ῥήτωρ παρῄνει τοῖς γνωρίμοις, πεπιμῶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ

μὲν τοῦ ζῆν μόνον, οἱ δὲ διδασκαλοι καὶ τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασι. τὴν γὰρ ἀπόφασιν αὐτοῦ Ισοκράτης, μετὰ ἀποδείξεως ἐξενήνοχε. κατὰ χαριεντισμὸν δὲ, οἷον ὀλυμπιὰς πυθομένη τὸν ἀλέξανδρον διὸς αὐτὸν ἀποφαίνειν, οὐ παύσετε οὗτος (ἔφη) διαβάλλων με πρὸς τὴν ἥραν; συλλογιστικῶς δὲ, οἷον διογένης ὁ φιλόσοφος, ἰδὼν μειράκιον περισσῶς καλλωπιζόμενον, εἶπεν· εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. ἐνθυμηματικῶς δὲ, οἷον σωκράτης ὁ φιλόσοφος, ἀπολλοδώρου τινὸς γνωρίμου λέγοντος αὐτῷ, ἀδίκως σου θάνατον κατέγνωσαν ἀθηναῖοι· γελάσας ἔφη, σὺ δὲ ἐβούλου δικαίως; πρόσεν θυμεῖτε, ὅτι ἄρα βέλτιον ἀδίκως ἢ δικαίως κατεγνῶσθαι· ὅπερ ἐν τῇ χρείᾳ δοκεῖ παραλελεῖφθαι δηλούμενον. ἤτοι παραδειγμα δὲ, οἷον ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, παρακαλούμενος ὑπὸ τῶν φίλων συναγαγεῖν χρήματα, εἶπεν, ἀλλὰ ταῦτα οὐκ ὤνησεν οὐδὲ κροῖσον. εὐκτικῶς δὲ, οἷον δάμων ὁ παιδοτρίβης χωλοὺς ἔχων τοὺς πόδας, κλαπέντων αὐτοῦ τῶν ὑποδημάτων, ἔφη; εἴθε ἐναρμόσειε τῷ κλέπτῃ. συμβολικῶς δὲ, οἷον, ἀλέξανδρος ὁ τῶν μακεδόνων βασιλεὺς, ἐρωτηθεὶς ὑπό τινος, ποῦ ἔχει τοὺς θησαυ-

ρους; ἐν τούτοις ἔφη, δείξας τοὺς φίλους. τροπικῶς δὲ, οἷον Πλάτων ὁ φιλόσοφος, τοὺς τῆς ἀρετῆς κλῶνας ἔφη ἱδρῶτι καὶ πόνοις φύεσθαι. κατὰ ἀμφιβολίαν δὲ, οἷον Ἰσοκράτης ὁ ῥήτωρ, συνισταμένου αὐτῷ παιδίου, καὶ ἐρωτῶντος τοῦ συνιστάντος, τίνος αὐτῷ δεῖ, εἶπε, πινακιδίου, καὶ νοῦ. καὶ γραφιδίου, καὶ νοῦ. ἀμφιβαλλόμενον γὰρ, πότερον νοῦ καὶ πινακιδίου λέγει, ἢ πινακίδος καινῆς, καὶ καινοῦ γραφιδίου. κατὰ μετάληψιν δὲ ἐστιν, ὅταν τὸ λεγόμενον, καὶ τὸ ἐρωτώμενον, ἐπ' ἄλλο τὶς ἀποκρινόμενος μεταλαμβάνῃ· οἷον, πύῤῥος ὁ τῶν ἠπειρωτῶν Βασιλεὺς, ζητούντων τινῶν παρὰ πότον, πότερος κρείττων αὐλητὴς, αὐτιγενίδας, ἢ σάτυρος; ἐμοὶ μὲν εἶπε στρατηγὸς πολυσπέρχων. ὁ δὲ συνεζευγμένος τρόπος οὐκ ἄδηλός ἐστιν, ὅτι πολλαχῶς γίνεται. ἢ γὰρ γνωμικῷ χαριεντισμῷ συμπλακήσεται, ἢ παραδείγματι συμβολικῷ, ἢ ἀμφιβολίᾳ καὶ μεταλήψει, ἢ ἁπλῶς καθ' ὅσους καὶ ἄλλους τρόπους δύνατ' συγγενέσθαι συζυγία, ἤτοι δυοῖν, ἢ καὶ πλειόνων τρόπων εἰς μίαν χρείαν παραλαμβανομένων· οἷον, διογένης ὁ κυνικὸς φιλόσοφος, ἰδὼν μειράκιον ἐκ τοίχου λίθους βάλλον εἰς ἀγορὰν, παῦσαι (ἔφη) παιδίον, μὴ ἀ-

γνοοῦν

γνοοῦν παίσῃς τὸν πατέρα. ἔχει γὰρ ἅμα καὶ συμβολικῶς, καὶ χαριέντως ἡ ἀπόφασις. γυμνάζοντ' δὲ κατὰ τὰς χρείας, τῇ ἀπαγγελίᾳ, τῇ κλίσει, τῇ ὑπαφωνήσει, τῇ ἀντιλογίᾳ. ἐπεκτείνομέν τε, καὶ συστέλλομεν τὴν χρείαν, πρὸς δὲ τούτοις ἀνασκευάζομεν, καὶ κατασκευάζομεν. καὶ ἡ μὲν ἀπαγγελία, φανερά ἐστι. ῥηθεῖσαν γὰρ χρείαν, πειρώμεθα κατὰ τὸ δυνατὸν αὐτοῖς ὀνόμασιν, ἢ καὶ ἑτέροις Σαφέστατα ἑρμηνεῦσαι. ἡ δὲ κλίσις, ἔστι ποικίλη. τὰ γὰρ ἐν τῇ χρείᾳ πρόσωπα, εἰς τοὺς τρεῖς ἀριθμοὺς ἐναλλάττομεν, καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλ' οἷον ἑνὸς πρὸς ἕνα, καὶ δύο πρὸς δύο, καὶ πλείους πρὸς πλείους. καὶ πάλιν, δυοῖν πρὸς ἕνα, καὶ πρὸς δύο, καὶ πρὸς πλείους. προκειμένης γὰρ χρείας, ὅτι Ἰσοκράτης ὁ ῥήτωρ, τοὺς εὐφυέας τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγεν εἶναι, οὕτω κλίνομεν. ἑνὸς μὲν πρὸς ἕνα, οἷον, ἰσοκράτης ὁ ῥήτωρ, τὸν εὐφυέα τῶν μαθητῶν, θεοῦ παῖδα ἔλεγεν εἶναι. δυοῖν δὲ πρὸς δύο, ἰσοκράτεε τὼ ῥήτορε, τὼ εὐφυέε τῶν μαθητῶν, θεῶν παῖδε ἐλεγέτην εἶναι. πλειόνων δὲ πρὸς πλείους, ἰσοκράτεις οἱ ῥήτορες, τοὺς εὐφυεῖς τῶν μαθητῶν, θεῶν παῖδας ἔλεγον εἶναι. φανερὸν δὲ ἐκ τούτων, πῶς καὶ τοὺς ἄλλους τρόπους κλινοῦμεν. μεταλαμβάνονται

 γὰρ

γὰρ καὶ εἰς τὰς πέντε πτώσεις. ἀλλ' ἐπεὶ τῶν χρειῶν αἱ μὲν εἰσιν λογικαὶ, αἱ δὲ πρακτικαὶ, αἱ δὲ ἐξ ἀμφοῖν τούτοιν μικταὶ, καὶ τούτων αὖ ἕτεραι ἐστιν εἴδη, καθ' ἕκαστον αὐτῶν πειρασόμεθα διδάσκειν τὴν κλίσιν ὑπὲρ παραδείγματος. ἡ μὲν οὖν ὀρθὴ, οὐδεμίαν ἔχει δυσκολίαν· κατὰ γὰρ τὴν αὐτὴν ἑκάστη τῶν χρειῶν εἴωθε προφέρεσθαι. τὴν δὲ γενικὴν πτῶσιν, οὕτω κλινοῦμεν. ἐὰν μὲν λογικὴ ᾖ ἡ χρεία, προσθήσομεν αὐτῇ, τὸ ῥηθὲν μνήμης ἔτυχεν, ἢ λόγος ἀπομνημονεύεται, εἰπόντος. τὸ μὲν οὖν πρότερον, μετὰ τὴν ἀπαγγελίαν ὅλης τῆς χρείας, εὐπρεπὲς ἐστιν ἐπενεγκεῖν· οἷον, Ισοκράτους τοῦ ῥήτορος, τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας λέγοντος εἶναι, τὸ ῥηθὲν μνήμης ἔτυχε. τὸ δὲ δεύτερον, μεθούσης αὐτῆς, καὶ τῆς ἀποφάσεως ἀρκομένης, οἷον πιττακοῦ τοῦ μιτυληναίου ἐρωτηθέντος εἰ λανθάνει τὶς τοὺς θεοὺς φαῦλόν τι ποιῶν, λόγος ἀπομνημονεύεται, εἰπόντος, οὐδὲ διανοούμενος. ἁρμόττει δὲ μᾶλλον, τὸ μὲν, λόγος ἀπομνημονεύεται, πάσαις ταῖς λογικαῖς χρείαις, πλὴν τῆς καθ' ἑκούσιον ἀπόφασιν. ταύτῃ γὰρ, τὸ ῥηθὲν μνήμης ἔτυχεν. ἐὰν δὲ πρακτικὴ ᾖ χρεία, εἰ μὲν παθητικὴ εἴη, προσθετέον, τὸ συμβὰν μνήμης ἔτυχεν. εἰ δὲ ἐ-

νεργητικὴ,

νεργητικὴ, τὸ πραχθὲν μνήμης ἔτυχεν. ὁμοίως δὲ καὶ ὑπὲρ τοῦ μικτοῦ. ὑπὲρ τέλει μέντοι τῶν χρειῶν, καὶ τούτων ἕκαστον προσθετέον· οἷον, διδύμου τοῦ αὐλητοῦ ἁλόντος ὑπὲρ μοιχείας, καὶ ἐκ τοῦ ὀνόματος κρεμασθέντος, τὸ συμβὰν μνήμης ἔτυχε. καὶ διογένους τοῦ κυνικοῦ φιλοσόφου ἰδόντος ὀψοφάγον παῖδα, καὶ τὸν παιδαγωγὸν τῇ βακτηρίᾳ παίσαντος, τὸ πραχθὲν μνήμης ἔτυχε. τῇ δὲ δοτικῇ, ὑπὲρ πάσης χρείας πλὴν τῆς παθητικῆς προσθήσομεν, τὸ ἔδοξεν, ἢ τὸ ἐφάνη, ἢ τὸ ἐπῆλθεν, ἢ καὶ παρέστη, ἢ τὶ τῶν τοιούτων· οἷον, διογένει τῷ κυνικῷ φιλοσόφῳ ἰδόντι μειράκιον πλούσιον ἀπαίδευτον, ἔδοξεν εἰπεῖν, οὗτός ἐστι ῥύπος περιηργυρωμένος. ὑπὲρ μὲν τῆς παθητικῆς προσθήσομεν, τὸ συνέβη· οἷον διδύμῳ τῷ αὐλητῇ ἁλόντι ὑπὲρ μοιχείας, συνέβη ἐκ τοῦ ὀνόματος κρεμασθῆναι. ὑπὲρ δὲ τῆς αἰτιατικῆς, προσθήσομεν καθόλου ὑπὲρ πάσης χρείας, τὸ φασὶ, τὸ λέγεται· οἷον, διογένην τὸν κυνικὸν φιλόσοφον, ἰδόντα μειράκιον πλούσιον ἀπαίδευτον, φασὶν εἰπεῖν, ἢ λέγεται, οὗτός ἐστι ῥύπος περιηργυρωμένος. ἡ δὲ κλητικὴ σαφής ἐστι. ποιησόμεθα γὰρ τὸν λόγον πρὸς πρὸν ἡμῖν πρόσωπον, ἐφ' ὃ ἡ χρεία ἀναφέ-

ρεται.

ρετω· οἷον, δι' ὀργῆς ἰωνικὲ φιλόσοφε, ἰδοὺ μέγα κιον πλούσιον ἀπαίδευτον, εἶπας, ὅτος ὄτι ῥύπου πολυκεχυρωμένου. ὡσαφωνεῖν δέ ὄτιν ἀποδεχομένους οἰκείως, καὶ σωτόμως τὸ εἰρημένον δεῖ τῆ χρείας, ἢ ὡς ἀληθὲς ὄτιν, ἢ ὡς καλὸν, ἢ ὡς συμφέρον, ἢ ὡς ἐν ἄλλοις τὸ αὐτὸ οὗτος ἐδόξαν ἀνδράσι δεδοκιμασμένοις· οἷον, δυριπίδης ὁ ποιητὴς τὸν νομῶ ἡμῶν ἕκαστε ἔφησεν εἶναι θεόν. ὡσαφωνήσομεν δὲ, ἐκ μὲν τοῦ ἀληθῆς, οὕτως· θεὸς γὰρ ὄντως ἑκάστου, ὁ νόος, ἐφ' ἃ μὲν συμφέρει πρότρεπων ἡμᾶς, ἀπείργων δὲ τῶν ζημιόντων. ἐκ δὲ τοῦ καλοῦ, οὕτως· καλὸν γὰρ ἕκαστον, μὴ χρυσῶ καὶ ἀργύρω νομίζειν εἶναι τὸν θεὸν, ἀλλ' ἑαυτόν. ἐκ δὲ τοῦ συμφέροντος, οὕτως· ἵνα μὴ δεῖ μακροῦ λέγοντα τὸ ἰμωρουῶ οἰόμενοι, πολλῶ τὸ ἀδικεῖν ἔχοιμεν σύγκρισιν. ἐκ δὲ τῶν σύνηκίμων μαρτυρίας, ὅταν ἢ σοφὸν, ἢ νομοθέτην, ἢ ποιητὴν, ἢ ἄλλον τινα τῶν διωνομασμένων, λέγωμεν ὁμογνωμονεῖν τοῦτ' ἐκεῖνο· οἷον, ὡδὶ τὸ προκειμένης χρείας φήσομεν· τοῖς γὰρ νόος ὄτιν ὧν χθονίων ἀνθρώποις, οἷον ἐπ' ἦμαρ ἄγουσι πατρὶ ἀνδρῶν τε θεῶν τε. ἀνελέγομεν δὲ ταῖς χρείαις ἐκ τῶν γναντίων, ὡς πρὸς τὸν Ἰσοκράτην εἰπόντα, ὅτι οὐκ ἀσκάλως πολεμικὸν τῶν πατρῶν·

πατρῶν· οἱ μὲν γὰρ τὸ ζῆν ἡμῖν, οἱ δὲ ἀσκάλως καλοὶ τὸ καλῶς ζῆν παρέχοντο. φαμὲν γὰρ ἀνελέγοντες, ὅτι οὐκ ἐνῆν καλῶς ζῆν, εἰ μὴ τὸ ζῆν οἱ πατέρες παρέχοντο. εἰσὶν δὲ ἀσκάλεῖ, ὅτι οὐ δυνατὸν ἀντιλέγειν πάσιν χρείαις, πολλῶν καλῶς καὶ ἀμέμπτως εἰρημένων· ὥσπερ δὲ πάσας ἔστιν ἐπαινεῖν, σχεδὸν τὸ ἴνδον σύνθυς πρὸς πίστιν τῶν ἀστείων. ἐπεκτείνομεν δὲ τὴν χρείαν, ἐπειδὰν τὰς ἐν αὐτῇ ἐρωτήσεις τε καὶ ἀποκρίσεις, καὶ εἰ πρᾶξίς τις ἢ πάθος ἐνυπάρχῃ, μηκύνομεν. συνέλομεν δὲ, τὸ ἐναντίον ποιοῦντες· οἷον, σωτόμου μὲν χρεία, ἐπαμεινώνδας ἄτεκνος ἀποθνήσκων, ἔλεγε τοῖς φίλοις, δύο θυγατέρας ἀπέλιπον, τὴν τε πρὸς λεύκτραν νίκην, καὶ τὴν πρὸς μαντίνειαν. ἐκτείνομεν δὲ ὅτως· ἐπαμεινώνδας ὁ τῶν θηβαίων στρατηγὸς, ἦν μὲν ἀρα καὶ παρὰ τοῖς εἰρήνην ἀνὴρ ἀγαθὸς, συναὐτος δὲ τῇ πατρίδι πολέμαρχος πρὸς λακεδαιμονίους, πολλὰ καὶ λαμπρὰ ἔργα δι' μεγαλοψυχίας ἐπεδείξατο, βοιωταρχῶν μὲν πρὸς λεύκτρα, νίκην σὺν πολεμίους, στρατευόμενος δ' ὑπὲρ τῆς πατρίδος, καὶ ἀγωνιζόμενος, ἀπέθανεν ἐν μαντινείᾳ. ἐπεὶ δὲ τρωθεὶς ἐτελεύτα τὸν βίον, ὀλοφυρομένων τῶν φίλων τά τε ἄλλα, καὶ διότι ἄτεκνος ἀποθνήσκοι,

θνήσκοι, μενδιάσας, παύσασθε ὦ φίλοι κλαί-
οντες, ἐγὼ γὰρ ὑμῖν ἀθανάτους δύο καταλέλοι-
πα θυγατέρας, δύο νίκας τῆς πατρίδος, ἡ τῶν λα-
κεδαιμονίων, τῆς μὲν ἐν λεύκτροις, τῆς πρεσβυτέ-
ραν, νεωτέραν δὲ, τῆς ἄρτι μοι γενομένην ἐν μαντι-
νείᾳ. ἀνασκευαστέον δὲ ἔτι τὰς χρείας, ἐκ τοῦ ἀσα-
φοῦς, ἐκ τοῦ πλεονάζοντος, ἐκ τοῦ ἐλλείποντος,
ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ ἀπιθάνου, ἐκ τοῦ ψευ-
δοῦς, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ ἀχρήστου, ἐκ τοῦ
αἰσχροῦ. ἐκ μὲν τοῦ ἀσαφοῦς, ὡς εἰ λέγοιμεν τὸν
Ισοκράτην μὴ σαφῶς διωρικέναι, ὧν δεῖται
πρὸς ῥητορείαν τὸ συνιστάμενον αὐτοῦ παι-
δίον. ὁμοίως δὲ ἔχει, καὶ ἡ διδύμου τοῦ αὐλητοῦ.
οὐ γὰρ ἅπασιν σαφές ἐστι, τὸ ἐκ τοῦ ὀνόματος
ἐκρεμάσθη. ἐκ δὲ τοῦ πλεονάζοντος, ἐπειδὰν
λέγηταί τι, οὗ ἀφαιρεθέντος, οὐδὲν ἧττον δια-
μένει ἡ χρεία· οἷον, σωκράτης ὁ φιλόσοφος ἐ-
ρωτηθεὶς, εἰ εὐδαίμων αὐτοῦ δοκεῖ ὁ περσῶν
βασιλεὺς; οὐκ ἔχω λέγειν, ἔφη. μὴ γὰρ εἰδέναι
πῶς ἔχει παιδείας. ἐπλεόνασε γὰρ, οὐ μόνον
πρὸς τὴν ἐρώτησιν ἀποκρινόμενος, ἀλλὰ καὶ
τῆς ἀποκρίσεως αἰτίαν εἰπών. οὐκ ἀναμείνας,
εἴπερ ἄρα ἐπανερωτήσει, ὅπερ οὐκ ἦν κατὰ
σωκράτην, ἄνδρα διαλεκτικὸν ὄντα. ἐκ δὲ τοῦ
ἐλλείποντος, ὅταν δείκνυμεν μὴ καλῶς φαί-
μενον

μενον τὸν Δημοσθένην, ὑπόκρισιν εἶναι τῆς ῥητορι-
κήν· πολλῶν γὰρ καὶ ἄλλων εἰς αὐτὴν δεόμε-
θα. ἐκ δὲ τοῦ ἀδυνάτου, ὡς ἂν φῶμεν πρὸς τὸν
Ισοκράτην, μὴ δυνατὸν ἐκθεῶν ἀνθρώπους
γενέσθαι, μὴ δ' ἂν εὐφυεῖς ὦσιν. ἐκ δὲ τοῦ ἀπι-
θάνου, ὅτι μὴ εἰκός ἐστιν αὐτισθένην ἀττικόν γε
ὄντα παραγενόμενον ἀθήνηθεν εἰς λακεδαίμο-
να, ἐκ τῆς γυναικωνίτιδος λέγειν, εἰς τὴν ἀν-
δρωνίτιν ὑπελέναι. ἐκ δὲ τοῦ ψευδοῦς, ὅτι μὴ ἀ-
ληθῶς ὁ βίων ἔλεγε, τὴν φιλαργυρίαν μητρό-
πολιν εἶναι τῆς κακίας. μᾶλλον γὰρ ἀφροσύνη
ἐστὶν. ἐκ δὲ τοῦ ἀσυμφόρου, ὅτι βλαβερῶς πα-
ραινεῖ σιμωνίδης παίζειν ἐν τοῦ βίῳ, καὶ περὶ
μηδὲν ἁπλῶς σπουδάζειν. ἐκ δὲ τοῦ ἀχρήστου, ὅ-
σον εἰ φαίνοιτο πρὸς οὐδὲν ὠφέλιμον τὸ ῥηθὲν
τοῦ βίῳ. ἐκ δὲ τοῦ αἰσχροῦ, ὁπόταν αἰσχρὰν καὶ
ἐπονείδιστον ἀποφαίνωμεν τὴν χρείαν· οἷον, ἀ-
νὴρ συβαρίτης ἰδὼν λακεδαιμονίους ὑπὲρ πό-
νως ζῶντας, οὐ θαυμαζειν ἔφησεν, ὅτι ἐν τοῖς
πολέμοις οὐκ ὀκνοῦσιν ἀποθνήσκειν· ἄμεινον
γὰρ εἶναι τὸν θάνατον, τοῦ τοιούτου βίου. πάνυ
γὰρ μαλακῶς, καὶ οὐκ ἀνδρείου τρόπου
τὴν ἀπόφασιν ἐποιήσατο. ἐκ μὲν οὖν τού-
των ἀνασκευαστέον. πρὸς ἕκαστον δὲ μέρος τῆς
χρείας ἀρξάμενον, ἀπὸ τῶν πρώτων ὑπαχει-
ρεῖν δεῖ,

ρεῖν δεῖ, ἐξ ὅσων τρόπων ἐὰν δυνατὸν ᾖ. μὴ λανθανέτω γὰρ ἡμᾶς, ὅτι οὐχ οἷόν τε ἐστὶν ἐν πάσαις, ἐκ πάντων ὠλχειρεῖν. τὴν μέντοι τάξιν τῶν ὠλχειρημάτων ποιησόμεθα, καθὰ καὶ τῶν τόπων ἐκτιθέμεθα. οἱ αὐτοί δ' ἂν εἶεν καὶ πρὸς τὴν τῶν γνωμῶν ἀνασκευὴν τε καὶ κατασκευήν. τοῖς δὲ ἤδη τελειοτέροις, προσήκει τὰς ἀφορμὰς λαμβάνειν, καὶ ἐκ τῶν πρὸς τὰς θέσεις ἡμῖν πραθησομένων. χρὴ δὲ τὸ προοίμιον μὴ τοιοῦτον εἶναι, ὥστε ἐφαρμόττειν ἑτέραις χρείαις, ἀλλ' ἴδιον τῆς ὑποκειμένης. οὗτος δ' ἂν καλῶς γένοιτο, ἐπί τε χρείας, καὶ μύθου, καὶ τῶν ἄλλων ἁπάντων, ὅταν ἐξ ἑνὸς ἢ δύο τῶν ἀνωτάτω μερῶν τὰς ἀφορμὰς τῶν προοιμίων λαμβάνωμεν. μετὰ δὲ τὸ προοίμιον, αὐτήν τε τὴν χρείαν ἐκθετέον, εἶτα ἑξῆς τὰς ὠλχειρήσεις. χρηστέον ἐνταῦθα καὶ αὐξήσεσι, καὶ παρεκβάσεσι, καὶ ἤθεσιν, οἷς δυνατόν ἐστιν.

ΠΕΡΙ ΑΝΑΣΚΕΥΗΣ, καὶ κατασκευῆς.

ΠΕΡΙ δὲ ἀνασκευῆς καὶ κατασκευῆς, εἴπομεν ὅτι οἱ αὐτοὶ τόποι χρήσιμοι, οἵπερ καὶ πρὸς τοὺς μύθους. ἐν δὲ τοῖς διηγήμασι, καὶ οἱ ἀπὸ τοῦ ψευδοῦς καὶ ἀδυνάτου τόποι

τόποι ἁρμόττουσιν, ὅπερ ποιεῖ Θουκυδίδης μὲν, ἀνασκευάζων, τὸ μὴ τύραννον ὄντα ἵππαρχον, ὑπὸ τῶν περὶ τὸν ἁρμόδιον καὶ ἀριστογείτονα ἀναιρεθῆναι. Ηρόδοτος δὲ ἐναντιούμενος τοῖς ἀποφαινομένοις, αἰγύπτιον εἶναι μητρόθεν τὸν καμβύσην. οὐκ ἀεὶ μὲν οὖν οἷόν τε, ἐκ πάντων τῶν τρόπων ἐν τοῖς διηγήμασιν ἐπιχειρεῖν. ἐὰν δέ ποτε ἐγγένηται, ταύτῃ τῇ τάξει χρησόμεθα· πρῶτον μὲν ἀπὸ τοῦ ἀσαφοῦς, καθ' ὅσους τρόπους περὶ σαφηνείας εἴπομεν. δεύτερον δὲ, ἀπὸ τοῦ ἀδυνάτου ὠλχειρήσομεν, δεικνύντες ὅτι ἀδύνατον τὸ πρᾶγμα οὕτω γενέσθαι, ὡς φησὶν ὁ συγγραφεὺς, ἤτοι διὰ τὸ μηδόλως πεφυκέναι γίνεσθαι, ἢ διὰ τὸ μὴ κατὰ τὸν αὐτὸν χρόνον εἶναι τὰ ἱστορούμενα. οἷον, πρὸς τοὺς λέγοντας, ὅτι ἡρακλῆς ἀπέκτεινε Βούσιριν. κατὰ γὰρ Ησίοδον, πρεσβύτερος ἡρακλέους ὁ Βούσιρις, ἕνδεκα γενεαῖς. καὶ ὅλως πρὸς τὰ πολλὰ τῶν τοιούτων ἀφορμὰς ἕξομεν λόγων, ἐκ τῶν ἀρίωνος ἐλέγχων. ἔπειτα δὲ καὶ εἰ δυνατὸν ὑποθοίμεθα τὸ πρᾶγμα, λεκτέον ὅτι ἀπίθανόν ἐστιν. εἰ δὲ ἀληθὲς φανείη, ἑξῆς ζητήσομεν, εἰ ἐλλείπει τί, ἢ πλεονάζει. ἔπειτα δὲ, ὅτι μάχεται κατὰ τὴν διήγησιν αὐτὸς ἑαυτῷ ὁ συγγραφεύς. πρὸς δὲ τούτοις μεμ-

φοίμεθα καὶ τῷ τάξει τῶν κεφαλαίων, εἰ μὴ πρόσκοπτος εἴη γεγυμνωμένη. εἰ δὲ ταῦτα πάντα κατὰ τρόπον εἴη διατεθειμένα, ἀλλ' ὡς ἕκαστός τε, καὶ ἀσύμφορον ἁμάρτημα. ἔστι γὰρ τῶν πραγμάτων, ἃ πραχθῆναι μὲν οὐκ ἐχρῆν, φθάσαντα δὲ πραχθῆναι, σιωπᾶσθαι συμφέρει· οἷον, εἴ τις τὸν λοιπὸν αἰῶνα τοιαῦτα εἰπὼν εἰς τὸν ἀθλιωτάτων ἀσεβῆσαι, οἷα λέγεται, ἔπειτα ὑπὸ θοίνῃ μήτε γῆ πίθαλασσήν, μήτε οἶκοι, κακόν τι αὐτὸν πεπονθότα, ἢ γέρας μετ' εὐδαιμονίας τετελευτηκέναι. ῥᾳδίως δὲ καὶ πλείονων εὑπορήσομεν τῶν χειρημάτων, ἐὰν κατ' ἕκαστον τῶν παρατιθεμένων τόπων τῶν χειροῦσθαι, χρώμεθα καὶ τοῖς κατευθυμένοις στοιχείοις, ἐξ ὧν ἅπασα πρᾶξις ὑφίσταται. ἔστι δὲ ταῦτα, ἐξ ὧν προείπομεν· πρόσωπον, πρᾶγμα, τρόπος, χρόνος, τόπος, αἰτία. παραδείγματος δὲ ἕνεκα, ὁ λόγος ἡμῖν ἔσω ἐφ' ἑνὸς τόπου τοῦ ἀπιθάνου. ἐὰν τοίνυν αὐτὸν κατασκευάζωμεν τῇ διηγήσει ἐκ τοῦ ἀπιθάνου, οὕτως ἐπεξελευσόμεθα, δεικνύντες ὅτι καὶ τὸ πρόσωπον ἀπίθανόν ἐστι, καὶ τὸ πραχθέν, καὶ ὁ τόπος, ἐν ᾧ ἡ πρᾶξις. ὁμοίως δὲ καὶ ὁ χρόνος, καὶ ὁ τρόπος, καὶ ἡ αἰτία τῆς πράξεως· οἷον ἐπὶ μηδείας. ἐκ μὲν τοῦ προσώπου, ὅτι ἀπίθανόν ἐστι μητέρα κακῶς

κακῶς ποιῆσαι τέκνα. ἐκ δὲ τῆς πράξεως, ὅτι οὐκ εἰκὸς ὄντων ἀκραφνῶν. ἐκ δὲ τοῦ τόπου, ὅτι οὐκ ἂν ἀπέκτεινεν ἐν Κορίνθῳ, ὅπου διέτριβεν ἰασόνα ὁ τῶν παίδων πατήρ. ἐκ δὲ τοῦ χρόνου, ὅτι ἀπίθανόν ἐστιν ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ αὐτὴ μὲν ἐπαπέκνου, τοῦ αὐδρὸς ἐκπεσόντος ξένης γυνῆς, ὁ δὲ ἰασὼν μείζω δυνάμιν προσειληφὼς, γήμας γλαύκῃν τὴν Κρέοντος τοῦ βασιλέως τῶν τόπων θυγατέρα. ἐκ δὲ τοῦ τρόπου, ὅτι ἐπειράθη ἂν λαθεῖν, καὶ οὐκ ἂν ξίφει διεχρήσατο, ἀλλὰ φαρμάκῳ, ἄλλως τε, καὶ φαρμακὶς οὖσα. ἐκ δὲ τῆς αἰτίας, ὅτι ἀπίθανόν ἐστι διὰ ὀργὴν τὴν πρὸς τὸν ἄνδρα, ἀπεκτονέναι τὰ τέκνα. οὐ γὰρ ἴσον τοῦ ἰάσονος, ἀλλὰ καὶ αὐτῇ κοινὸν ἐγίνετο τὸ ἀτύχημα, καὶ μᾶλλον αὐτῇ, ὅσῳ μαλακώτεραί πως αἱ γυναῖκες πρὸς τὰ πάθη. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τόπων ἐφοδεύσομεν, κατὰ τὰ ἐξῆς στοιχεῖα τῶν χειροῦσθαι, ἐξ ὧν αὐ δύναιτο τις. ἐκ δὲ τῶν ἐναντίων τόπων κατασκευάσομεν. οἱ δ' αὐτοί ἐσμεν ἀρμόττουσι καὶ πρὸς τὰς μυθικὰς διηγήσεις, τάς τε ὑπὸ τῶν ποιητῶν καὶ τὰς ὑπὸ τῶν ἱστορικῶν λεγομένας, πρός τε θεῶν καὶ ἡρώων· ἔτι τε, καὶ τῶν ἐξηλλαγμένων καὶ φύσιν, οἷά ἐστιν ἱστορῆσαι πόδα ὠκύτατον, καὶ ἐρυθρὸν, καὶ χιμαίρας, καὶ ἱπποκενταύρων, καὶ τῶν

παραπλησίων. ὁ δὲ μὴ μόνον ἀνασκευάζειν τὰς ζιαύτας μυθολογίας, ἀλλὰ καὶ ὅθεν παρεῤῥύηκεν ὁ φιοῦτος λόγος ἀκριφαίνειν, τελεωτάτας ὄψεως ἕξεως, ἢ κατὰ σὺν πολλούς. ὅπερ ποιήκειν Ηρόδοτος μὲν, ἐν τῇ πολυτόρᾳ τῶν περὶ τὰ παλαιὰ πολλὰ διηγούμενος, ὡς ἠξέτησαν αἰγύπτιοι, καὶ ἡ μὲν εἰς δωδώνην, ἡ δὲ εἰς ἄμμωνος ἀφίκετο. ἠξηγέμενός τε τὸ μυθολόγημα φησὶν, ὅτι παρθένοι ζωὲς ἐκ θηβῶν τῶν αἰγυπτίων ἦσαν ἱέρειαι, ὧν ἡ μὲν εἰς δωδώνην ἐπρᾶθη, ἡ δὲ εἰς ἄμμωνος. καὶ ἐπειδὴ βαρβαρικὶ ἐφθέγγοντο, καὶ ἀξυνέτως ζῆς ὠνεχωρίοις, λόγος κατέσχεν, ὡς ὄρνιθες ἦσαν. πλάττων δὲ ἐν τοῖς φαίδρῳ, τὸ πόδι τὴν ὠρειθυίας κῆτος βορέᾳ συνάγημα οὐκ ἀποδεχόμενος, φησὶν τὴν ὠρειθυίαν, ὠνόμα βορέου κατὰ τὸν πλησίον ποιητῶν σιῶν φαρμακείας παιζόσαν ὥσαι, καὶ ὅτω μὴ λεχθῆναι ὑπὸ τοῦ βορέου ἀνάρπασον γεγονέναι. καὶ μήν τοι καὶ ἐφορος ἐν τῇ τετάρτῃ χρῆται τούτῳ τοῖς τρόπῳ· ὅτι ἅρα τινὲς μὲν ἐν πανοπέως διωκῆς, αὐτὴς παράνομος καὶ βίαιος, τύθων δὲ θηρεύσιος τὸν φύσιν, δράκων ὠνκαλούμενος. οἱ δὲ πόδι τὸν πάλαι μὲν φλέγραν, νῦν δὲ παλλήνην ὀνομαζομένην κατοικῶντος, ἦσαν ἄνθρωποι ὠμοί, καὶ ὑβρίσυλοι,

συλοι, καὶ ἀνθρωποφάγοι, οἱ καλούμενοι γίγαντος, οὓς ἡρακλῆς λέγεται χειρώσασθαι τῆς τροίαν ἐλών. καὶ διὰ τὸ ἱρατῆσαι σὺν πόδι τὸν ἡρακλέα ὀλίγους ὄντας, τῶν γιγάντων πολλῶν ὄντων, καὶ ἀσεβῶν, θεῶν ἔργον ἁπάσιν ἐδόκει γεγονέναι τὸ πόδι τὸν μάχην. καὶ ὅσα ἄλλα τοιαῦτα ὠνλύεται, πόδι τὸν λυκούργου, καὶ μίνωος, καὶ ῥαδαμάνθυος, καὶ διὸς, καὶ μουσήτων, καὶ τῶν ἄλλων τῶν ἐν τῇ ἱρήτῃ μυθολογουμένων· καὶ παλαιφάτῳ τοῖς πόδι πατταικῷ ἔσιν ὅλον βιβλίον, πόδι τῶν ἀπίσων ὠνγραφόμενον, ἐν ᾧ τὰ τοιαῦτα ὠνλύεται, οἷον, ὅτι μεγάλαυροι μὲν ὑπελήφθησαν, οἱ πρῶτοι ὠδὴ ἵπποις ὀχούμενοι ὀφθέντος. διομήδης δὲ θρᾷξ, εἰς ἱπποτροφίαν διαπαλωθεὶς, ἐλέχθη ὑπὸ τῶν αὐτὸν ἵππων ἀπολωλῆναι. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἀκταίωνα ὑπὸ τῶν κυνῶν. ἡ δὲ μήδεια βαπτουσα τὰς ὠδὴ τῆς κεφαλῆς τῶν ἀνθρώπων πολιὰς, καὶ μελαίνας ποιῆσαι,

ἐφημίσθη, σὺν γέροντας εἰς λέβητα
κατακόπτουσα, νέους ποιεῖν.
καὶ τὰ παραπλήσια
τούτοις.

ΠΕΡΙ ΤΟΠΟΥ.



ΟΡΟΣ ὅτι λόγ⊙ αὐξητικὸς ὁμολογουμένω πράγματ⊙, περὶ ἁμαρτήματ⊙, ἢ αὐθραγαθήματ⊙. ἔστι γὰρ διηθὸς ὁ τόπος. ὁ μέν τις, κατὰ τὴν ποιότητα συμβεβηκότων, οἷον κατὰ τυραννίνου, κατὰ πολίτου, αὐθροφόνου, ἀσώτου. ὁ δέ τις κατὰ τὴν χρόνον τι παρεπεπραγμένων· οἷον, κατὰ τυραννοκτόνου, ἀθεότητος, νομοθέτου. τῶν δὲ τόπων, οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ οὐχ ἁπλοῖ. ἁπλοῖ μέν, οἱ προειρημένοι· οὐχ ἁπλοῖ δέ, οἱ κατὰ στρατηγῶ πολίτου, κατὰ ἱερέως ἱεροσύλου, κατὰ τοῦ ὑβρίσαντος τὴν ἑορτὴν, ἢ ἱερῶ, ἢ κατὰ γυναικὸς τυραννοκτόνου. τόπ⊙ δέ ἐστιν, ὅπερ ἀπ' αὐτοῦ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως ὑπομνήσομεν κατὰ τῶν ὁμολογουμένων ἀδικεῖν. διόπερ ἔνιοι καὶ ἀφορμὴν ὑπομνημάτων αὐτὸν ὠνόμασαν. ἢ μὲν γὰρ τοῦ ὑβρίσαντος κατηγορία, κοινὴ τῆ ἀναμφισβητ⊙, καὶ τόπ⊙ καλεῖται. ἀπ' αὐτῆς δὲ ὁρμώμενοι, οἷον ἐκ τόπου, ῥᾳδίως καὶ κατὰ λόγων⊙, καὶ κατὰ μισθίου λόγων δυνησόμεθα. διαφέρει δὲ τῶν ἐγκωμίων, καὶ τῶν ψόγων. ὅτι ἐκεῖνα μὲν περὶ ὡρισμένων προσώπων, ἡ μετὰ ἀποδείξεως λέγεται· οἷον ἰσοκράτους, τὸν ἐλένης

ἐλένης ἐγκώμιον, καὶ εἴ που τις συγγράφου ψόγος. οἱ δὲ τόποι, περὶ μόνων ἁπλῶν εἰσι τῶν πραγμάτων, καὶ χωρὶς ἀποδείξεως. καὶ ὅτι τῶν μὴ πρὸς ἐγκωμίοις καὶ ψόγοις, φροντιστέον καὶ προοιμίων· ἀλλὰ δὲ τὸν τόπον, ἐπίνοια ταύτη τις εἶναι βούλεται, ὥστε ἀποκοπὴν εἶναι λόγειν, καὶ μέρ⊙ λόγου ἑτέρου προειρημένου, καὶ οἷον ἐπιλογόν τινα μετ' ὄγκου τῶν ἤδη προαποδεδειγμένων. διόπερ καὶ οὕτως ἀρκτέον αὐτῶ, καθάπερ ἤδη προειρημένων ἑτέρων, ὡς παρ' Αἰσχίνη· μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες ἀθηναῖοι, τὰς τῶν ἀτυχημάτων ἀρχὰς ἀπὸ θεῶν, ἀλλὰ καὶ ἀνθρώπων ἀσελγείας γίνεσθαι. καὶ παρὰ Δημοσθένει· ἄνθρωποι μιαροὶ, καὶ κόλακες, καὶ ἀλάστορες, ἱκρωτηριασμένοι τὰς ἑαυτῶν ἑκάστ⊙ πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νυνὶ δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες, καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν. καὶ ἔτι· νόσημα γάρ, ὦ ἄνδρες ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τοὺς Ἕλληνας, καὶ χαλεπὸν, καὶ πολλῆς δυστυχίας πηγὴν, καὶ ἅπαντες ὑμῶν ὠμελέκασιν δεόμενον. ἤδη δὲ καὶ προοιμίων πολλοὶ φροντίζουσι, καὶ αὐτὸ τὸ πρᾶγμα ἐκτίθενται, ὡσανεὶ διηγούμενοι, ἀλλ' ὥσπερ τὰς

αὐξήσεις πλεφέρουσιν. οἱ δὲ τοιοῦτοι, τάχα ἂν
καὶ οὕτως ὠφελοῖντο. διαφθείρουσι μέν τοι τῆς
ἰδιότητα τοῦ γυμνάσματος. πλεχειρεῖν δὲ δεῖ,
ἐκ τῆς προαιρέσεως τῶν δεδρακότων, καὶ τοῦ
μεγέθους τῶν ἔργων ὧν διαπράττονται, ἔκ τε
ὧν ἕτεροι πάσχουσι δι' αὐτοὺς, καὶ ἔτι δὲ ὧν αὐ-
τοὶ μεταλαμβάνουσιν. ἐὰν δὲ ὥσπερ ἐν δίκῃ
ἐθέλωμεν καὶ προοιμίῳ, καὶ διηγήματι χρῆσθαι,
μετὰ τὸ προοίμιον καὶ τὴν τοῦ ἀδικήματος
ἀπαγγελίαν, ληψόμεθα τὰς πλεχειρήσεις· πρῶ-
τον μὲν, ἀπὸ τῆς διανοίας τοῦ δεδρακότος, ὅτι
πονηρά. δεύτερον δὲ ἀπὸ τοῦ πράγματος, πε-
ρὶ οὗ τὸ ἀδίκημα, ὅτι τῶν ἀναγκαιοτάτων ἐστὶν.
οἷον, ὅτι κλέπτης περὶ τὰ χρήματα πλεβουλεύει,
ἅπερ εἰσὶν ἀναγκαιότατα πᾶσι. καὶ τούτων
ἕνεκα, καὶ γεωργοῦμεν, καὶ πλέομεν, καὶ πάνθ'
ἁπλῶς κατὰ τὸν βίον πράττομεν, ἵν' ἔχωμεν
χρήματα, δὲ ὧν ζῆν δυνησόμεθα. μετὰ δὲ ταῦ-
τα ἀπὸ τῆς περιοχῆς, ὅτι τοῦ μὲν ὀνόματι, ἐν τῷ
ἀδίκημά ἐστι, τῇ δὲ ἀληθείᾳ, πολλὰ περιέχει
ἐν αὐτοῦ ἀδικήματα· οἷον, ἡ μοιχεία, καὶ βίαν
καὶ κλοπὴν, καὶ νοηθείαν, καὶ μυρία ἄλλα πε-
ριέχει. ἔπειτα δὲ ἀπὸ τῆς συγκρίσεως· αὕτη δὲ
τριπλῆ. τὸ γὰρ κατηγορούμενον ὑφ' ἡμῶν, ἢ
μείζονι ἑαυτὸν συγκρίνομεν, ἢ ἐλάττονι, ἢ ἴσῳ. ὅ-
ταν μὲν

ταν μὲν οὖν μείζονι συγκρίνωμεν, αὔξοντες τὸ
ἔλαττον, ἴσον ἐκείνῳ ἀποφανοῦμεν· οἷον, ὅτι
κλέπτης τῷ ἱεροσύλῳ τὰ ἴσα ἀδικεῖ. μιᾷ γὰρ
ἀμφότεροι χρῶνται τῇ περὶ τὸ κλέπτειν πλεθυ-
μία. καὶ οὔθ' ὁ κλέπτης εἰ καιροῦ λαβοιτο, ὀκνή-
σειεν ἱεροσυλεῖν, οὔθ' ὁ ἱερόσυλος κλέπτειν.
ὅταν δὲ ἐλάττονι συγκρίνωμεν, οὕτως ἐρῦμεν·
εἰ ὁ κλέπτης ἀνθρώπων χρήματα ἀφαιρούμενος
κολαζεται, πόσω μᾶλλον οὗτος κολασθήσε-
ται, ὁ τὰ τῶν θεῶν συλῶν; ὅταν δὲ ἴσον ἴσῳ πα-
ραβάλλωμεν, φήσομεν, ὅτι εἰ τὸν τὰ ἴσα ἡμαρ-
τηκότα ἀθῷον οὐκ ἐῶμεν, οὐδὲ τοῦτον ἄξιον πε-
ριορᾶν. εἶτα ἀπὸ τῶν ἐναντίων· εἰ γὰρ ἀριστεὺς τι-
μῶν ἄξιος, κολάσεως ὁ προδότης. ἑξῆς δὲ ἀ-
πὸ τῶν πρὸ τοῦ πράγματος· οἷον, τὸ κατὰ τοῦ
ἱεροσύλου, ὅτι πρὸ τῶν εἰς τοὺς θεοὺς ἀσεβομαί-
των, εἰκός ἐστι τὸν ἱερόσυλον, πολλὰ εἰς τοὺς ἀν-
θρώπους τετολμηκέναι, πολλὰ δὲ εἰς τοὺς κατοι-
χομένους. ἐκλελοιπέναι τε τὰ πολλὰ τῶν νενο-
μισμένων πλὴ τιμῇ θεῶν· οἷον, ἑορτὰς, θυσίας,
εὐχὰς, ἔτι τε πλορκηκέναι πολλάκις, καὶ τὰ
παραπλήσια. εἶτα ἀπὸ τῆς ἐκβάσεως, καὶ τῶν
μετὰ τὸ πρᾶγμα· οἷον, ἱεροσυλίας γενομένης,
τὰ μὲν ἱερὰ ἀκόσμητα διαμένει, ὁ δὲ ἱερόσυ-
λος εἰς τὰς ἡδονὰς καταναλίσκει τὰ συλη-

 θέντα.

θῶντα. καὶ ὅτι δι' ἃς τοιαύτας ἁμαρτίας ὧδε γίνεται ταῖς πόλεσι καὶ θεῶν μιάσματα, λοιμοί, καὶ λιμοί, στρατοπέδων ὄλεθροι, καὶ πάντα τὰ τοιαῦτα. ἑξῆς δὲ ἀπὸ τοῦ ἀνηκέστου· οἷον, ἀνεπανόρθωτόν ὅτι τὸ πραχθέν. εἶτα ἐκ διαιρέσεως, ἢ νόμοθετῶν, ἢ ποιητῶν, σοφῶν ἀνδρῶν γνώμας λέγοντες· οἷον, ὅτι καὶ τούτοις πονηρὸν εἶναι δοκεῖ τὸ πραχθέν, καὶ διολάσεως ἄξιον. ἐφ' ἅπασι δὲ, τὴν δι' ἀτύπωσιν ποιησόμεθα, ὅταν γὰρ γένηται τὸ ἀδίκημα ἀπαγγέλλωμεν, καὶ τὸ πάθος τοῦ ἠδικημένου· οἷον, διὰ τὰ αὐθροφόνου. διαγράφομεν γὰρ, οἷος μὲν ἦν ὁ ἐργαζόμενος τὸν φόνον, ὡς ὠμῶς καὶ ἀνηλεῶς αὐτόχειρ γιγόμενος, ἀνθρώπου ἄνθρωπος ὤν, καὶ τὸ ξίφος ἀσεβάσμενος, καὶ τὴν πληγὴν καταφέρων, καὶ μὴ διαιρίας εἰ τύχοι δὲ πληγῆς γενομένης, ἄλλας ἐπ' ἄλλαις ποιούμενος, καὶ μιαινόμενος αἵματι τοῦ φονευθέντος. οἵας δὲ διακεῖνος φωνὰς ἠφίει, τοῦτο μὲν τοῦ φονεύοντος λεόμενος, τοῦτο δὲ βοηθοὺς τοὺς καλούμενος, νεκροὺς μὲν ἀνθρώπους, νεκροὺς δὲ τοὺς θεούς, καὶ ὅσα ἄλλα φασὶν τα. ἐν δὲ τοῖς ἀνθρώποις τόποις, ἔστι μὲν καὶ ἀπὸ τῶν προειρημένων ὠφελεῖν. πλείονων δὲ λόγων δυπορήσομεν, διὰ τὸ προσκείμενον τοῖς ἁπλοῖς. ὁ γὰρ πολίτης, ἐν διαθ' αὐτὴν

αὐτὴν μὲν ὀργῆς ἄξιος, πολὺ δὲ πλέον, ὅταν στρατηγὸς ᾖ. τὸ δὲ παρ' ἐλπίδα πραχθέν, πολλὰς ἀφορμὰς λόγων παρασκίδωσιν. ἢ μὲν τῶν ἁμαρτημάτων αὔξησις, ἐκ τούτων ἂν γένοιτο· τῶν δὲ ἐπαινετῶν, ἐκ τῶν ἐναντίων.

ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ.



ΕΓΚΩΜΙΟΝ ὅτι, λόγος ἐμφανίζων μέγεθος τῶν κατ' ἀρετὴν πράξεων, καὶ τῶν ἄλλων ἀγαθῶν, περιωρισμένον πρόσωπον. τότε δὲ, τὸ μὲν εἰς αὐτοὺς ζῶντας, ἰδίως νῦν ἐγκώμιον καλεῖται· τὸ δὲ εἰς αὐτοὺς τεθνεῶτας, ἐπιτάφιος λέγεται· τὸ δὲ εἰς αὐτοὺς θεούς, ὕμνος. ἀλλ' εἴτε ζῶντας, εἴτε τελευτήσαντας, ἢ καὶ ἥρωας, καὶ θεοὺς τις ἐγκωμιάζοι, μία καὶ ἡ αὐτὴ ὅδος τῶν λόγων ἐφοδος. ἐγκώμιον δὲ λέγεται, διὰ τὸν παλαιοὺς, τὸν κώμῳ τινὶ, καὶ παιδιᾷ, τὰς εἰς θεοὺς συλλογίας ποιεῖν. ἐπεὶ δὲ τὰ ἀγαθὰ μᾶλλον ἐπαινεῖται, τὰ δὲ ἀγαθῶν τὰ μὲν περὶ ψυχήν τε καὶ ἦθος, τὰ δὲ περὶ σῶμα, τὰ δὲ ἐκτὸς θεν ἡμῖν προσπαρακολουθοῦντα τοῖς, ἐπὶ πλεονάζει τὰ τοῖς αὐτοῖς ταῦτα, ἐξ ὧν δυπορήσομεν ἐγκωμιάζειν, ἔστι δὲ τὰ ἐκτὸς θεν, πρὸς τὴν

εὐγένεια ἀγαθὸν, διττὴ δὲ, ἡ μὲν πόλεως καὶ ἔθνους καὶ πολιτείας ἀγαθῆς, ἡ δὲ γονέων καὶ τῶν ἄλλων οἰκείων. ἔπειτα δὲ, παιδεία, φιλία, δόξα, ἀρχὴ, πλοῦτος, εὐτεκνία, εὐθανασία. τοῦ σώματος ἔστιν ὑγεία, ἰσχὺς, κάλλος, εὐαισθησία. ψυχικὰ δὲ ἀγαθὰ, τὰ σπουδαῖα ἠθικὰ, καὶ τούτοις ἀκολουθοῦσαι πράξεις· οἷον, ὅτι φρόνιμος, ὅτι σώφρων, ὅτι ἀνδρεῖος, ὅτι δίκαιος, ὅτι ὅσιος, ὅτι ἐλεύθερος, καὶ ὅτι μεγαλόφρων, καὶ ὅσα τοιαῦτα. καλαὶ δὲ εἰσὶ πράξεις, καὶ αἱ μετὰ θάνατον ἐπαινούμεναι. οὐ γὰρ ζῶντας εἰώθασι κολακεύειν, καὶ ἀνάπαλιν, αἱ ζώντων ἔτι ἡμῶν ἐγκωμιαζόμεναι, καὶ τὸν τῶν πολλῶν φθόνον ὑπερβαλλόμεναι. φθόνος γὰρ τοῖς ζῶσι (κατὰ Θουκυδίδην) πρὸς τὸ ἀντίπαλον. καὶ ἃς ἄλλων ἕνεκα, καὶ μὴ ἑαυτῶν πράττομεν. καὶ τοῦ καλοῦ χάριν, ἀλλὰ μὴ διὰ τὸ συμφέρον, ἢ τὸ ἡδύ. καὶ ἐφ' ὧν ὁ μὴ πόνος ἴδιος, ἡ δὲ ὠφέλεια κοινή. καὶ δι' ἃς οἱ πολλοὶ καὶ μεγάλα πάσχουσιν εὖ, καὶ τὰς χάριν εὐεργετῶν, καὶ μᾶλλον τετελευτηκότων. διόπερ ἐπαινοῦνται, καὶ αἱ πρὸς τῶν φίλων τιμωρίαι, καὶ κίνδυνοι. ἐπαινεταὶ δὲ εἰσὶν αἱ πράξεις, καὶ αἱ διὰ τὸν καιρὸν, καὶ εἰ μόνος ἔπραξέ τις, ἢ πρῶτος, ἢ οὐδεὶς, ἢ μᾶλλον τῶν ἄλλων, ἢ

μετ'

μετ' ὀλίγων, ἢ ὑπὲρ τὴν ἡλικίαν, ἢ παρὰ τὴν ἐλπίδα, ἢ μετὰ πόνων, ἢ ὅσα ῥᾶστα ἢ τάχιστα ἐπράχθησαν. δεῖ δὲ λαμβάνειν καὶ τὰς κρίσεις τῶν ἐνδόξων· καθάπερ οἱ ἐπαινοῦντες ἑλένην, ὅτι θησεὺς προέκρινεν. χρήσιμον δὲ καὶ τὸ εἰκάζειν, ἐκ τῶν παρεληλυθότων τὰ μέλλοντα. ὥστε εἴ τις λέγει περὶ ἀλεξάνδρου τοῦ μακεδόνος, τί δ' ἂν ἔπραξε τηλικαῦτα, καὶ τοσαῦτα ἔθνη καταστρεψάμενος, εἰ μικρὸν ἔτι ἐπεβίω χρόνον; καὶ ὡς Θεόπομπος ἐν τῷ φιλίππου ἐγκωμίῳ· ὅτι εἰ βουληθείη φίλιππος τοῖς αὐτοῖς πυλτηδεύμασιν ἐμμεῖναι, καὶ τοῦ εὐρώπης πάσης βασιλεύσει. οὐκ ἄχρηστον δὲ καὶ τὸ μνημονεύειν τῶν ἤδη δεδοξασμένων, ἀντιπαραβάλλοντα δ' ἐκείνων τὰ ἔργα πρὸς τῶν ἐγκωμιαζομένων. χάριεν δὲ ἐστιν ἐνίοτε, ἀπὸ τῶν ὀνομάτων, καὶ τοῦ ὁμωνυμίας, ἢ τῶν ἐπωνυμιῶν ἐγκωμιάζειν, ἐὰν μὴ πάνυ φορτικὸν καὶ καταγέλαστον ἦν. καὶ ἀπὸ μὲν τῶν ὀνομάτων, Δημοσθένους ὅτι ἦν· οἷον, ὅτι ἦν τὸ τοῦ δήμου σθένος. ἀπὸ δὲ τοῦ ὁμωνυμίας, ὅταν τις τύχῃ τὸ αὐτὸ ὄνομα ἔχων ἀνδρὶ δεδοξασμένῳ. ἐκ δὲ τῶν ἐπωνυμιῶν, οἷον περικλῆς ὀλύμπιος, ἀπὸ τοῦ ἐν τοῖς κατορθώμασι μεγαλειότητος πυλκεκλημένος. οἱ μὲν οὖν τόποι ἐξ ὧν πυλχειρή-

σομεν,

σομαι, οἵδε εἰσί. χρησόμεθα δὲ αὐτοῖς, τὸν μὲν πρότερον. μετὰ τὸ προοίμιον, σύντομος πρὸς σύγκρισιν ἐρεῖν, καὶ τῶν ἄλλων τῶν ἐκτός, καὶ τοῦ σῶμα ἀγαθῶν· οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχε, τὸν λόγον διατιθέμενοι, ἀλλ' ἐφ' ἑκάστῳ δεικνῦντες, ὅτι μὴ αὐθαδῶς, ἀλλὰ φρονίμως καὶ ὡς ἔδει αὐτοῖς ἐχρήσαμεν. ἤκουσα γὰρ ἐπαινοῦσι μὴ κατὰ προαίρεσιν, ἀλλ' ἐκ τύχης ἃ ἔχουσιν ἀγαθά· οἷον, ὅτι δυστυχῶν ἐγὼ μέτριος καὶ φιλάνθρωπος, καὶ πρὸς οὓς φίλους ὁ αὐτός, καὶ δίκαιος, καὶ τοῖς σώμασι πλεονεκτήμασι σωφρόνως προσεχθείς. εἰ δὲ μηδὲν τῶν προειρημένων ἀγαθῶν ἔχοι, λεκτέον ὅτι ἀτυχῶν τῷ νοῦν οὐκ ἐγώ, οὐδὲ νομίζων ἄδικος, οὐδὲ δόμενος αὐθαδῶς ἀποδώσειν. καὶ ὅτι ἐκ πόλεως ὧν μικρᾶς, λαμπρὸς ἐγένετο, διαθάπερ ὀδυνατεύς τε καὶ δημόκριτος. καὶ γὰρ πολιτείᾳ φαύλῃ τεθραμμένος, ὁ δημόκριτος, ἀλλὰ τῶν καθ' αὑτὸν ἄριστος ἐγένετο, ὥσπερ πλούτων γὰρ ὀλιγαρχίᾳ. ἐπαινετός τε, καὶ εἴ τις ἐκ πατρῴας οἰκίας ὢν, μέγας ἐγένετο, ὥσπερ σωκράτης ὁ φαιναρέτου καὶ μαίας υἱός, καὶ σωφρονίσκου τοῦ ἑρμογλύφου. ἄξιον δὲ ἀγαθὰ, καὶ τὸν ἐκ βαναύσου τέχνης, ἢ πονηρᾶς τύχης, ἀγαθὸν δημιουργὸν γενέσθαι τι ἐργάσασθαι· οἷον λέγουσιν, ἥρωνα τὸν

τὸν σκυτοτόμον, λέοντιον δὲ τὴν ἑταίραν, φιλοσοφῆσαι. * μάλιστα γὰρ ἐν τοῖς ἀτυχήμασιν ἐκλαμπρῇ τῇ ἀρετῇ. μετὰ δὲ ταῦτα, τὰς πράξεις, καὶ τὰ κατορθώματα παραληψόμεθα, οὐκ ἐφεξῆς διηγούμενοι. λέγοντος γὰρ, ἄλλα προστιθέμενα κατὰ μίαν ἑκάστου ἀρετήν. ἐπὶ τε τὰ ἔργα διεξιόντος· οἷον, ὅτι ἐν σώφρων πρόλεγειν καὶ ἐμφέρειν δύθυς, τί αὐτῷ σωφρονικὸν ἔργον πέπρακται. ὁμοίως δὲ τῶν ἄλλων ἀρετῶν. τὰς διαβολὰς, ἢ οὐ διὰ λέγω. ἀναμνησις γὰρ γίνεται τῶν ἁμαρτημάτων. ἢ ὡς οἷόν τε λάθρα, καὶ ἀποκεκρυμμένως· μὴ λαθόμενον ἀπολογίαν αὐτὸ ἐγκωμίου ποιήσαντες. ἀπολογεῖσθαι γὰρ προσήκει πρὸς τὸν διαβολικὸν αἰτίαν ἔχοντα. ἐπαινεῖν δὲ, τοῦ ἐν ἀγαθῷ διὰ νοεῖ διαφέροντας. τὰ δὲ τῶν ἀψύχων ἐγκώμια, οἷον μέλιτος, ὑγείας, ἀρετῆς, καὶ τῶν παραπλησίων, ἀναλόγως ποιησόμεθα, ἀπὸ τῶν προειρημένων τόπων ἐν χειροῦντος, ἐξ ὧν δυνατὸν ἦ. ἐκ μὲν τούτων ἐπαινεσόμεθα, ψέξομεν δὲ ἐκ τῶν ἐναντίων.

ΠΕΡΙ

ΠΕΡΙ ΣΥΓΚΡΙΣΕΩΣ.



ΣΥΓΚΡΙΣΙΣ ἐστι, λόγος τὸ βέλτιον, ἢ τὸ χεῖρον περιστάς. γίνονται δὲ συγκρίσεις προσώπων τε καὶ πραγμάτων. καὶ προσώπων μὲν, οἷον, αἴαντος, ὀδυσσέως· πραγμάτων δὲ, οἷον, σοφίας τε, καὶ ἀνδρείας. ἀλλ' ἐπειδὴ καὶ τῶν προσώπων θάτερον προκρίνομεν, εἰς τὰς πράξεις ἀποβλέποντες, καὶ εἴ τι ἄλλο περὶ αὐτῶν ἐστιν ἀγαθὸν, μία μέθοδος ἂν εἴη περὶ ἀμφοῖν. πρῶτον δὲ διωρίσθω, ὅτι αἱ συγκρίσεις γίνονται, οὐ τῶν μεγάλην πρὸς ἄλληλα διαφορὰν ἐχόντων (γελοῖος γὰρ ὁ ἀπορῶν, πότερος ἀχιλλεὺς ἢ θερσίτης) ἀλλ' ὑπὲρ τῶν ὁμοίων· καὶ περὶ ὧν ἀμφισβητοῦμεν, πότερον δεῖ προθέσθαι, διὰ τὸ μηδεμίαν ὁρᾶν, τοῦ ἑτέρου πρὸς τὸ ἕτερον ὑπεροχήν. ὅταν μὲν οὖν πρόσωπα συγκρίνωμεν, πρῶτον μὲν ἀντιπαραβαλοῦμεν τὴν εὐγένειαν, καὶ τὴν παιδείαν, καὶ τὴν εὐτεκνίαν, καὶ τὰς ἀρχὰς, καὶ τὴν δόξαν, καὶ τὴν τοῦ σώματος διάθεσιν, καὶ εἴ τι ἄλλο περί τε τὸ σῶμα, καὶ ἔξωθεν ἀγαθὸν, ἐν τοῖς περὶ ἐγκωμίων προείπομεν. μετὰ ταῦτα, τὰς πράξεις συγκρινοῦμεν, προκρίνοντες τὰς καλλίους, καὶ τὰς ἀγαθῶν πλείονων καὶ

νων καὶ μειζόνων αἰτίας, καὶ βεβαιοτέρας, καὶ τὰς πολυχρονιωτέρας, καὶ τὰς ἐν καιρῷ μᾶλλον πεπραγμένας, καὶ ὧν μὴ πραχθεισῶν μεγάλη βλάβη συμβαίνει. καὶ τὰς ἐκ προαιρέσεως μᾶλλον, τῶν δι' ἀνάγκην ἢ τύχην. καὶ ἃς ὀλίγοι ἔπραξαν μᾶλλον, ἢ ἃς οὐδεὶς. τὰ γὰρ κοινὰ καὶ δημώδη, οὐ πάνυ ἐπαινετά. καὶ ἃς μετὰ πόνου ἐπράξαμεν μᾶλλον, ἢ ῥᾳδίως. καὶ ἃς εἰργασάμεθα μετὰ τὴν ἡλικίαν, καὶ τὴν δύναμιν μᾶλλον, ἢ τὰς ὅτε δυνατόν ἐστι. τὰς δὲ διαβολὰς, ἃς ἔφαμεν ἐν τῷ περὶ ἐγκωμίων, ἢ οὐδεὶ λέγειν, ἢ ὡς οἷόν τε τάχιστα. τὰς δὲ τοῦ ἐναντίου προσώπου, διασύρειν μᾶλλον, καὶ χλευάζειν προσήκει. τούτῳ γὰρ διοίσει σύγκρισις τῆς ὑποθέσεως. ἐν μὲν γὰρ τῇ ὑποθέσει, πρὸς τῷ τὰ οἰκεῖα λέγειν κατορθώματα, καὶ εἴ τι πέπρακται τοῖς ἀντιδίκοις ἁμάρτημα, ἐπαίξομεν. ἡ δὲ σύγκρισις, μόνην ἁπλῶς τῶν κατορθωμάτων τὴν ὑπεροχὴν ζητεῖν ἐπαγγέλλεται. ὅταν δὲ πράγματα συγκρίνωμεν, γελοῖον μὲν ἴσως ἐνταῦθα δόξει, συγγένειαν, ἢ τί τοιοῦτον ζητεῖν. οὐδὲν δὲ κωλύει κατὰ ἀναλογίαν τοῖς τοιούτοις ὑποσκοπεῖν· οἷον, ἢ τοῦ εὑρετὰς αὐτῶν, ἢ τὴν φύσιν, ἢ τὴν χώραν, ἐν αἷς πέφυκεν εἶναι. καθὰ εἴ τις φαίη τὴν

 ὑγείαν,

ὑγείαν, ἀπόλλωνος εἶναι θυγατέρα, ἐπειδὴ ἰατρὸς ὁ θεός. ἢ τὸ μέλι ἐξ οὐρανοῦ, διότι δοκεῖ τοῖς πολλοῖς, ἐκ δρόσου τὴν ὑπόστασιν ἔχειν. ἢ ναὶ μὰ δί' ἀλλ' ἐκ τῆς ἀρίστης πόλεως, ἐπειδὴ πέφυκε τὸ κάλλιστον μέλι ἐν τῇ ἀττικῇ γίνεσθαι, καὶ ὅσα τοιαῦτα. ἑξῆς δὲ λεκτέον, καὶ τὰς δι' ἑτέρων τῶν προβαλλομένων συμβαινούσας ὠφελείας. τὰς μὲν οὖν τῶν βελτιόνων συγκρίσεις, ἐκ ταύτης ποιησόμεθα. ἐκ δὲ τῶν ἐναντίων, ἐπεὶ δὰν ζητῶμεν δυοῖν ὄντων φευκτῶν, τὸ χεῖρον ἀνευρεῖν· οἷον, ἀφροσύνης, καὶ ἀλγηδόνος. αἱ μὲν οὖν ἑνὸς πρὸς ἕν τι συγκρίσεις, οὕτως ἂν μεθοδεύοιντο. τὰς δὲ πλειόνων τινῶν πρὸς πλείω, κατὰ δύο τρόπους εἰώθαμεν συγκρίνειν. εἷς μὲν γὰρ ἐστι τρόπος, ὅταν τῶν συγκρινομένων λαβόντες τὰ ἀκρότατα, πρὸς ἄλληλα παραβαλλωμεν. κατὰ δὲ τὴν τούτων σύγκρισιν, καὶ τὸ σύμπαν γένος, πρὸς πᾶν γένος ἀξιοῖμεν ἔχειν· οἷον, εἰ βουλοίμεθα τὸ τῶν ἀῤῥένων γένος, πρὸς τὸ τῶν θηλειῶν συκρίναι, ὁπότερον αὐτῶν ἐστιν ἀνδρειότερον, ἀξιοῖμεν τὸν ἀνδρειότατον ἄνδρα, πρὸς τῆς ἀνδρειοτάτην γυναῖκα συγκρίνοντες, ὁπότερον ἂν εὑρίσκωμεν κρείττονα, οὕτω καὶ τὸ ὅλον αὐτοῦ γένος, τοῦ ἑτέρου κρεῖττον ἀποφαίνειν. εἰ μὲν δὴ βουλόμεθα προκρίνειν

κρίνειν τὸ τῶν ἀῤῥένων γένος τοῦ θήλεως, οὕτω ποιήσομεν· ὑποθησόμεθα γὰρ, θεμιστοκλέα κρείττονα εἶναι τοῦ τῶν ἀῤῥένων γένους κατὰ ἀνδρείαν, ἀρτεμισίαν δὲ τοῦ θήλεος. οὐκοῦν εἰ ἀνδρειότερος ὁ θεμιστοκλῆς ἀρτεμησίας, καὶ τὸ τῶν ἀῤῥένων γένος τοῦ τῶν θηλειῶν ἀνδρειότερον. εἰ δὲ τὸ θῆλυ γένος τοῦ ἄῤῥενος προκρίνειν ἐθέλοιμεν, ὑποθησόμεθα τόμυριν μὲν εἶναι ἀνδρειοτάτην γυναικῶν, κῦρον δὲ τῶν ἀνδρῶν. οὐκοῦν εἰ τόμυρις ἀνδρειοτέρα κύρου, καὶ τὸ τῶν θηλειῶν γένος ἀνδρειότερον τοῦ τῶν ἀῤῥένων. δεύτερος δὲ τρόπος ἐστὶν, ὅταν μὴ μίαν, ἢ δύο τῶν ἐξοχωτάτων, τοῖς ἐξοχωτάτοις παραβαλλόμενοι, ἀλλ' ἐκεῖνο τὸ γένος προκρίνομεν, ἐν ᾧ πλείους εἰσὶν οἱ εὐδόκιμοι· οἷον, εἰ πλείους εἰσὶν ἄῤῥενες ἀνδρεῖοι, ἤπερ αἱ γυναῖκες, καὶ τὸ γένος τῶν ἀῤῥένων, τοῦ τῶν γυναικῶν ἀνδρειότερον. οὐ γὰρ εἰ τόμυρις ἡ μασσαγέτις, ἢ σπαρέδρα ἡ ἀμώγου τοῦ σακῶν βασιλέως γυνὴ κρείττων ἐστὶ κύρου, ἢ καὶ ναὶ μὰ δία σεμίραμις ζοροαστρου τοῦ βακτρίου, ἤδη συγχωρητέον, καὶ τὸ θῆλυ τοῦ ἄῤῥενος εἶναι ἀνδρειότερον· μιᾶς μὲν ἢ δύο γυναικῶν ἀνδρειοτάτων οὐσῶν, ἀῤῥένων δὲ παμπόλλων. ἔστι δὲ ὁ τόπος τῶν λόγων διττός. ἢ γὰρ ὑπὲρ ἑκάστου τῶν

 συγκρι-

συγκρινομένων ἰδίᾳ τινὰ λόγον διεξελευσόμεθα, ἢ ἕνα παρ' ἀμφοῖν, θάτερον προκρίνοντες, καθάπερ καὶ Ξενοφῶν ἐν τῷ συμποσίῳ, τὸν τῆς ψυχῆς ἔρωτα, τῷ τοῦ σώματος ἀντιπαραβάλλων προκρίνει.

ΠΕΡΙ ΠΡΟΣΩΠΟΠΟΙΙΑΣ.



ΠΡΟΣΩΠΟΠΟΙΙΑ ἐστὶ, προσώπου παρεισαγωγὴ, διατιθεμένου λόγους οἰκείους, ἑαυτῷ τε καὶ τοῖς ὑποκειμένοις πράγμασιν ἀναμφισβητήτως· οἷον τίνας ἂν εἴποι λόγους ἀνὴρ πρὸς τὴν γυναῖκα, μέλλων ἀποδημεῖν· ἢ στρατηγὸς τοῖς στρατιώταις, ὑπὲρ τοῦ κινδύνους. καὶ ὑπὲρ ὡρισμένων δὲ προσώπων· οἷον, τίνας ἂν εἴποι λόγους κῦρος ἐλαύνων ὑπὲρ μασσαγέτας. ἢ τίνας δάτις μετὰ τὴν ἐν μαραθῶνι μάχην ἐντυγχάνων τῷ βασιλεῖ. ὑπὸ δὲ τοῦτο τὸ γένος τῆς γυμνασίας πίπτει καὶ τὸ τῶν πανηγυρικῶν λόγων εἶδος, καὶ τὸ τῶν προτρεπτικῶν, καὶ τὸ τῶν ὑπαστολικῶν. πρῶτον μὲν τοίνυν ἁπάντων, ἐνθυμηθῆναι δεῖ, τό τε τοῦ λέγοντος πρόσωπον ὁποῖόν ἐστι, καὶ τὸ πρὸς ὃν ὁ λόγος, τήν τε παροῦσαν ἡλικίαν, καὶ τὸν καιρὸν, καὶ τὸν τόπον, καὶ τὴν τύχην,

τύχην, καὶ τὴν ὑποκειμένην ὕλην, περὶ ἧς οἱ μέλλοντες λόγοι ῥηθήσονται. ἔπειτα δὲ ἤδη περὶ ῥᾶσθαι λόγους ἁρμόττοντας εἰπεῖν. πρέπουσι γὰρ δι' ἡλικίαν ἄλλοι ἄλλοις, πρεσβυτέρῳ καὶ νεωτέρῳ, οὐχ οἱ αὐτοί. ἀλλ' ὁ μὲν τοῦ νεωτέρου λόγος ἡμῖν, ἁπλότητι καὶ σωφροσύνῃ μεμιγμένος ἔσται· ὁ δὲ τοῦ πρεσβυτέρου, συνέσει καὶ ἐμπειρίᾳ. καὶ διὰ φύσιν γυναικὶ καὶ ἀνδρὶ, ἕτεροι λόγοι ἁρμόττοιεν ἄν, καὶ διὰ τύχην δούλῳ καὶ ἐλευθέρῳ, καὶ δι' ὑπατήδευμα στρατιώτῃ καὶ γεωργῷ. κατὰ δὲ διάθεσιν, ἐρῶντι, καὶ σωφρονοῦντι, καὶ διὰ γένος. ἕτεροι μὲν λόγοι τοῦ λάκωνος παῦροι καὶ λιγέος, ἕτεροι δὲ τοῦ ἀττικοῦ ἀνδρὸς σωμύλου. καὶ βαρβαρικῶς φαμὲν εἰπεῖν πολλάκις τὸν Ηρόδοτον, καί περ ἑλληνιστὶ γράφοντα, ὅτι τοῦ ἐκείνων λόγους μεμίμηται. πρέπουσι δὲ λόγοι, καὶ τόποις, καὶ καιροῖς. οὐ γὰρ ὑπὲρ τοῦ στρατοπέδου οἱ αὐτοὶ καὶ ἐν ἐκκλησίᾳ, οὐδὲ ἐν εἰρήνῃ καὶ πολέμῳ, οὐδὲ νικῶσι καὶ ἡττημένοις, καὶ ὅσα ἄλλα παρακολουθεῖ τοῖς προσώποις. καὶ μὴν καὶ αὐτὰ τὰ πράγματα ἕκαστα, ἔχει πρέπουσαν ἑρμηνείαν. ταύτης δ' ἂν ἐγκρατεῖς γενόμεθα, ἐὰν μή τε περὶ μεγάλων πραγμάτων ταπεινῶς λέγωμεν, μήτε περὶ μικρῶν ὑψηλῶς, μή τε περὶ

εἰ εὐτελῶν σεμνῶς, μήτε περὶ δεινῶν ἐκλελυμένως, μήτε περὶ αἰσχρῶν θρασέως, μήτε περὶ ἐλεεινῶν περιττῶς, ἀλλὰ τὸ πρέπον ἑκάστῳ τῶν πραγμάτων ἀποδιδόμεν, στοχαζόμενοι ἅμα καὶ τοῦ ἁρμόττοντος τοῦ τε προσώπου, καὶ τῷ τρόπῳ, καὶ τοῦ χρόνου, καὶ τῇ τύχῃ, καὶ ἑκάστῳ τῶν προειρημένων. ἐπεὶ οὖν ποικίλη ἐστὶν ἡ τῶν προσώπων διαφορὰ, καὶ τῶν πραγμάτων. ἢ γὰρ αἰτούμεθά τι, ἢ προτρέπομεν, ἢ παρηγοροῦμεν, ἢ συγγνώμην αἰτοῦμεν ἐφ' οἷς ἐπράξαμεν, ἢ ἄλλό τι τῶν τοιούτων, ἀναγκαῖόν ἐστι, καὶ καθ' ἕκαστον τούτων ἀφορμὰς οἰκείας εἰπεῖν. προτρέποντες τοίνυν ἐροῦμεν, ὅτι ἐφ' ὃ προτρέπομεν, καὶ δυνατὸν γενέσθαι, καὶ ῥᾴδιον, καὶ καλὸν, καὶ πρέπον ἐστὶν, ὅτι συμφέρον, ὅτι δίκαιον, ὅτι ὅσιον. διττὸν δὲ καὶ οὗτον, ἢ πρὸς θεοὺς, ἢ πρὸς τετελευτηκότας. ὅτι ἡδὺ, ὅτι μὴ μόνοι πράττομεν, μὴ δὲ πρῶτοι, ὅτι εἰ καὶ πρῶτοι, πολὺ κρεῖττον ἄρξασθαι καλῶν ἔργων, ὅτι μὴ μετάνοιαν φέρει πραχθέν. ὑπομνηστέον δὲ, καὶ εἴτι προϋπῆρκται ἀπὸ τοῦ προτρέποντος, εἰς τὸν προτρεπόμενον, καὶ εἰ ἄλλο τε πεισθεὶς ὠφελήθη. ὁ δ' αὐτὸς τρόπος ἔσται τῆς συγχειρήσεως, καὶ αἰτώμεθά τι. ἀποτρέποντες δὲ, ἀπὸ τῶν ἐναντίων συγχειρήσομεν. * οὕτω χρησόμεθα

μεθα δὲ τοῖς λόγοις, ὅτι ἀναγκαῖον, καὶ πάντων κοινὸν τὸ γεγενημένον, καὶ ἀκούσιον. ἥκιστα γὰρ οἱ νοῦν ἔχοντες, συνὶ τοῖς ἀκουσίοις λυποῦνται. ἐὰν δὲ ἑκούσιον ᾖ ῥητέον, ὅτι αὐτὸς αὐτῷ αἴτιος. ὑπὸ γὰρ τῆς φιλαυτίας, ἧττον λυποῦνται δι' ἑαυτοὺς δυστυχήσαντες. λεκτέον δὲ, ὅτι καὶ τούτου μεῖζον κακὸν ὑπάρχει, ὃ παθόντες ἕτεροι, πολὺ ἤνεγκαν εὐκόλως. πρὸς δὲ τούτοις, ὅτι εἰ κατὰ βραχὺ ἀνιαρόν ἐστιν, ἀλλ' οὖν καὶ καλὸν, καὶ ἔνδοξόν ἐστιν. ἔπειθ' ὅτι ὠφέλιμον, καὶ ὅτι μηδὲ ὄφελος τῆς ὠδῆ τοῖς ἤδη γεγενημένοις λύπης. καὶ ὁ οἶκτος δὲ, μεγάλην ἰσχὺν ἔχει πρὸς παραμυθίαν, μάλιστα ὅτάν τις συνὶ κηδείᾳ τοὺς λόγους ποιήσαιτο. οἱ γὰρ ἀνιώμενοι, πρὸς μὲν τούτους τοὺς οἰομένους, μηδέν τι δεινὸν αὐτοὺς πεπονθέναι πεφύκασιν ἀντιτείνειν. καὶ πρὸς τῇ λύπῃ, οἷον ὀργίζεσθαι τοῖς παραμυθουμένοις. παρὰ δὲ τῶν συνολοφυρομένων, εὐμενέστερόν πως προσιέναι, ὡς παρ' οἰκείων τὰς παρηγορίας. διόπερ μετὰ τοὺς θρήνους ἐποιστέων τῶν λόγων τοὺς νουθετικοὺς. ὅταν δὲ συγγνώμην αἰτῶμεν, τὰς ἀφορμὰς ἐντεῦθεν ἕξομεν. πρῶτον μὲν, ὅτι ἀκούσιον τὸ πραχθέν. οὗτον δὲ, δι' ἄγνοιαν, ἢ τύχην, ἢ ἀνάγκην. ἐὰν δὲ ἑκούσιον ᾖ, λεκτέον, ὅτι ὅσιον, ὅτι συνήθες,

ὅτι ὀφέλιμον. ὧν χειρεῖν δὲ δεῖ, ἀφ' ὧν γυμνάζεται τόπων. οὐ γὰρ πάντων ἁρμόττουσι, πῶς πασας τὰς τοῦ τὸ αὐτὸ εἶδος οὔσας προσωποποιίας. ἔστω δὲ τὸ γύμνασμα, μᾶλλον ἢ ἤθων καὶ παθῶν ὧν δεκτικόν ἐστιν. ἁπλῶς μὲν οὖν εἰσαγωγὴ ἀπόχρη, λέγειν ἐκ τούτων τόπων τὰ μεράκια γυμνάζονται. τοῖς δὲ ἀκεραιότερον καὶ τελειότερον βουλομένοις τὰς προσωποποιίας μεταχειρίζεσθαι, πάρεστι καὶ ταῖς μικρὸν ὕστερον ῥηθησομέναις ἡμῖν ἀφορμαῖς τῶν χειρημάτων πρὸς τὰς θέσεις, χρῆσθαι.

ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.



ΕΚΦΡΑΣΙΣ ἐστὶ λόγος περιγηματικὸς, ὑπαργῶς τὸ ὄμμασιν ἄγων τὸ δηλούμενον. γίνεται δὲ ἔκφρασις προσώπων τε καὶ πραγμάτων, καὶ τόπων, καὶ χρόνων. προσώπων μὲν οὖν, οἷον τὸ ὁμηρικὸν, Γυρὸς γὰρ ὤμοισι, μελανόχροος, οὐλοκάρηνος. καὶ τὰ περὶ τὸν θερσίτου· φολκὸς ἦεν χωλὸς δ' ἕτερον πόδα, λὼ δ' οἱ ὤμω λυγρὼ ὑπὲρ σῆθος· ἐπὶ τὰ ἑξῆς. καὶ παρ' Ηροδότῳ τὸ εἶδος τοῦ ἴβιδος, καὶ τῶν ἵππων τῶν ποταμίων, καὶ τῶν λεοκορυφαίων τῶν αἰγυπτίων. πραγμάτων δὲ, οἷον ἐκφράσῃς πολέμου, εἰρήνης, χειμῶνος, λιμοῦ, λοιμοῦ, σεισμοῦ. τόπων δὲ, οἷον λιμένος, αἰγιαλοῦ, πόλεως, νήσου, ἐρημίας, καὶ τῶν ὁμοίων. χρόνων δὲ, οἷον ἔαρος, θέρους, ἑορτῆς, καὶ τῶν ὁμοίων. αἱ δὲ κατὰ τρόπον εἰσὶν ἐκφράσεις, ὁποῖαι τῶν σκευῶν, καὶ τῶν ὅπλων, καὶ τῶν μηχανημάτων, ὧν τρόπον ἕκαστον παρεσκεύασθη. ὡς παρὰ μὲν Ομήρῳ, ἡ ὁπλοποιία. παρὰ Θουκυδίδῃ δὲ ὁ τοῦ τειχισμὸς τῶν πλαταιέων, καὶ ἡ τοῦ μηχανήματος κατασκευὴ· λειραίαν μεγάλην λίχα πεῖσαντος ἐκβίλαναν ἅπασαν. ἐν δὲ τῇ φάσει, † ὑπόστασις. οἷον, τὰ εἴδωλα τῶν πορσῶν, ὡδὶ τοῖς μακροῖς ξύλοις ὀρθοῦντος τοῦ τοῦ ὄρθρου πρὸς τὰς ἀκροπόλεις πρόῤῥωθεν οἱ λυσιοὶ, εἰς φυγὴν ἐτράποντο, νομίσαντος τὴν ἀκρόπολιν πλήρη εἶναι πορσῶν, καὶ ἤδη ἐαλωκέναι. γένοιτο δ' ἂν ἧς καὶ μικτὴ ἔκφρασις, ὡς παρὰ Θουκυδίδῃ καὶ Φιλίσκῳ νυκτομαχία. ἐν νυκτομαχίᾳ μὲν γὰρ ἐν νυκτὶ καιρός ἐστιν, ἡ δὲ μάχη πρᾶξις. συγγένειαν δὲ ἔχει τὸ γύμνασμα τοῦτο τῷ προειρημένῳ, † ἢ μὲν γὰρ πόδι ὀφθαλμῷ ὁρίζει ἀμφότερα, ἀλλὰ κοινά, καθόλου ταύτῃ ὅμοια. διαφέρει δὲ ἀλλήλων πρῶτον μέν, ὅτι μὲν ὁ τόπος πόδι τῶν ἐκ προ-

† ὑπόστασις.

† ἢ τόπος

αιρέσεώς ἐστιν· ἡ δὲ ἔκφρασις, τὰ πολλὰ περὶ τῶν ἀψύχων, καὶ ἀπροαιρέτων γίνεται. δεύτερον, ὅτι ἐν μὲν τῷ τόπῳ τὰ πράγματα ἀπαγγέλλοντες, προστίθεμεν καὶ τὴν ἡμετέραν γνώμην, ἢ χρηστὰ, ἢ φαῦλα λέγοντες εἶναι. ἐν δὲ τῇ ἐκφράσει, ψιλὴ τῶν πραγμάτων ἐστὶν ἡ ἀπαγγελία. ὡσχειρήσομεν δὲ, τὰ μὲν πράγματα ἐκφράζοντες, ἔκτε τῶν προγιγνομένων, καὶ ἐκ τῶν συμβαινόντων τούτοις· οἷον, ὡσὶ πολέμου διεξελευσόμεθα, πρῶτον μὲν τὰ πρὸ τοῦ πολέμου, τὰς στρατολογίας, τὰ ἀναλώματα, τοὺς φόβους, τῆς χώραν δηουμένην, τὰς πολιορκίας. ἔπειτα δὲ τὰ τραύματα, τοὺς θανάτους, καὶ τὰ πένθη. ἐφ' ἅπασιν δὲ, τῶν μὲν τὴν ἅλωσιν καὶ τὴν δουλείαν, τῶν δὲ τὴν νίκην, καὶ τὰ τρόπαια. ἐὰν δὲ τόπους, ἢ χρόνους, ἢ τρόπους, ἢ πρόσωπα ἐκφράζωμεν, μετὰ τῆς παρὰ ἑαυτῶν διηγήσεως, ἀφορμὰς ἕξομεν λόγων, καὶ ἐκ τοῦ καλοῦ, καὶ ἐκ τοῦ χρησίμου, καὶ ἐκ τοῦ ἡδέως· οἷον Ὁμηρος ὡσὶ τῶν ἀχιλλέως ὅπλων ἐποίησεν εἰπὼν, ὅτι καὶ καλὰ ἦν, καὶ ἰσχυρὰ, καὶ ἰδεῖν τοῖς μὲν συμμαχοις ἐκπληκτικὰ, τοῖς δὲ πολεμίοις φοβερά. ἀρεταὶ δὲ ἐκφράσεως, αἵδε. Σαφήνεια μὲν μαλιστα, καὶ ἐνάργεια τοῦ σχεδὸν ὁρᾶσθαι τὰ ἀπαγγελλόμενα, ἔπειτα τὸ

μὴ

μὴ τελέως ἀπομηκύνειν περὶ τὰ ἄχρηστα. τὸ δὲ ὅλον συνεξομοιοῦσθαι χρὴ τοῖς ὑποκειμένοις τῆς ἀπαγγελίαν. ὥστε εἰ μὲν εὐανθές τι εἴη τὸ δηλούμενον, εὐανθῆ καὶ τὴν φράσιν εἶναι. εἰ δὲ αὐχμηρὸν, ἢ φοβερὸν, ἢ ὁποῖον δή ποτε, μὴ δὲ τὰ τῆς ἑρμηνείας ἀπάδειν τῆς φύσεως αὐτῶν. ἔνιοι μέν τοι γε ἀξιοῦσι γυμνάζεσθαι καὶ τὴν ἔκφρασιν, ἀνασκευάζοντες καὶ κατασκευάζοντες τὰς ὑπότινων εἰρημένας ἐκφράσεις· οἷον, ὅτι Ηρόδοτος διέψευσται, περὶ τοῦ εἴδους τῆς ἴβεως, λέγων ὅτι λευκότεραί εἰσι, πλὴν κεφαλῆς τε καὶ αὐχενὸς, καὶ τοῦ πυγιαίου ἄκρου. τὸ γὰρ πυγιαῖον ὅλον, λευκόν ἐστιν. ἡμῖν δὲ, οὐδὲν καινὸν δοκοῦσι λέγειν παρὰ τὰ προειρημένα, διὰ τὸ τοιοῦτον εἶδος ὑποπίπτειν νομίζειν, ἐν ταῖς τῶν διηγημάτων ἀνασκευαῖς τε, καὶ κατασκευαῖς.

ΠΕΡΙ ΘΕΣΕΩΣ.



ΘΕΣΙΣ ἐστὶν, ἐπίσκεψις λογικὴ, ἀμφισβήτησιν ὡσδεχομένη, ἄνευ προσώπων ὡρισμένων, καὶ πάσης πρισάσεως. οἷον, εἰ γαμητέον, εἰ παιδοποιητέον, εἰ θεοί εἰσι. διαφέρει δὲ τοῦ τόπου ὅτι ὁ μὲν ἐστιν ὁμολογου

μένου

μένου πράγματος αὔξησις· ἡ δὲ θέσις, ἀμφισβητουμένου. διὸ καὶ Ἑρμαγόρας μὲν αὐτὴν, κρινόμενον προσηγόρευκεν. Θεόδωρος δὲ ὁ γαδαρεὺς, κεφάλαιον ἐν ὑποθέσει. διαφέρει δὲ καὶ τῇ ἐκβάσει· ὅτι ἐν μὲν τῇ θέσει, τέλος ἐστὶ τὸ πεῖσαι. ἐν δὲ τῷ τόπῳ, τὸ τιμωρίαν λαβεῖν. καὶ ὅτι λέγεται ὁ μὲν τόπος ἐν δικαστηρίῳ, ἡ δὲ ἐν ἐκκλησίᾳ καὶ ἀκροάσει. ἔτι τοῦ μὲν τόπου ἀκροῶνται δικασταί, τῆς δὲ θέσεως ἁπλῶς πολῖται· καὶ κατὰ ἄλλα πολλά. τῆς δὲ προσωποποιίας, ὅτι ἡ μὲν θέσις πρόσωπον οὐκ ἐκφαίνει· ἡ δὲ προσωποποιία, ὅτι πλεῖστον ἀναφέρεται ἐν τῇ τῶν οἰκείων λόγων εὑρέσει τοῖς εἰσαγομένοις προσώποις. οὐ γὰρ τῷ αὐτῷ τρόπῳ τὶς τοὺς λόγους διαθήσετε, ἁπλῶς σκοπῶν εἰ παιδοποιητέον, καὶ παρεισάζων πατέρα συμβουλεύοντα τῷ υἱῷ παιδοποιήσασθαι. ληψόμεθα δὲ τὰ προοίμια τῶν θέσεων, ἤτοι ἀπὸ γνώμης κατασκευαζούσης τὴν θέσιν, ἢ ἀπὸ παροιμίας, ἢ χρείας, ἢ ἀπὸ φθέγματος χρησίμου, ἢ ἱστορίας, ἢ ἀπὸ ἐγκωμίου, ἢ ψόγου τοῦ πράγματος, ὑπὲρ οὗ τὸ ζήτημα. διήγησιν δὲ οὐκ ἔχομεν ἐν ταῖς θέσεσιν· ὑπόκειται γὰρ τὸ πρᾶγμα ἀπερίστατον· ἀλλὰ μετὰ τὸ προοίμιον, τάξομεν τὰ κεφάλαια. ἐπεὶ δὲ τῶν θέσεων, αἱ μὲν

εἰσι

εἰσι θεωρητικαὶ, ὅσαι θεωρίας ἕνεκα, καὶ γνώσεως μόνον ζητοῦνται· οἷον εἰ θεοὶ προνοοῦντες τοῦ κόσμου. αἱ δὲ πρακτικαὶ, εἴς τινα πρᾶξιν τῆς ἀναφορὰν ἔχουσαι· οἷον, εἰ γαμητέον. φανερὸν ὅτι αἱ μὴ πρακτικαὶ, καὶ πολιτικώτεραι εἰσι, καὶ κατὰ τὸν ῥητορικὸν χαρακτῆρα· αἱ δὲ θεωρητικαὶ, μᾶλλον τοῖς φιλοσόφοις ἁρμόττουσιν, αἷς οὐδὲν ἧττον ἐγχειρεῖν καὶ τοῖς ῥητορικοῖς δυνατόν ἐστιν, ἀπὸ τῶν πρὸς τὰς πρακτικὰς θέσεις τόπων ὁρμωμένους. οὐδὲν μέν τοι διαφέρει, ἐάν τε οὕτω λέγῃ τίς· εἰ γαμητέον, ἢ οὔ. καὶ πάλιν, εἰ αἱρετέος ὁ γάμος, ἢ φευκτέος. ἓν γὰρ καὶ ταυτό ἐστι διὰ πάντων οὗτος τὸ δηλούμενον. τῶν μὲν οὖν πρακτικῶν θέσεων, τὰ ἀνωτάτω κεφάλαια καταλαμβάνεται, κατασκευάζοντι μὲν ἐκ τοῦ ἀναγκαίου, καὶ τοῦ καλοῦ, καὶ τοῦ συμφέροντος, καὶ τοῦ ἡδέος. ἀνασκευάζοντι δὲ, ἐκ τῶν ἐναντίων. εἰς ἑκάστην δὲ ὑπαχειρήσομεν, ἐξ ὧν τόπων δυνατόν ἐστιν. ὡς γὰρ ὑπασημαινόμεθα, οὐχ οἷόν τέ ἐστιν ἐκ πάσης ἀφορμῆς πρὸς πᾶν πρόβλημα ὑπαχειρεῖν. εἰσὶ δὲ καὶ οἱ τόποι οἵδε. πρῶτον μὲν, ὅτι δυνατὸν γενέσθαι τὸ ἀξιούμενον διὰ τῆς θέσεως. δεύτερον δὲ, ὅτι κατὰ φύσιν, καὶ κατὰ κοινὰ πάντων ἀνθρώπων ἔθη τε καὶ νόμιμα. οὐ γὰρ ἀπὸ

χρη

χρὴ πῶς τῷ πρᾶξαι, τὸ δυνατὸν αὐτὸ εἶναι, ἐὰν μὴ κατὰ φύσιν, καὶ κατὰ νόμον ὑπάρχῃ. χρήσιμον, ὅτι ῥᾴδιον γενέσθαι· εἰ δὲ μὴ ῥᾴδιον εἴη, δυνατὸν δὲ πραχθῆναι, ὅτι πολὺ πλέον ὄντως ἐπαινετόν ὄντι, ἢ εἰ ῥᾴδιον ἦν. ἔπειθ' ὅτι μὴ μόνοι πράττομεν, ἀλλὰ καὶ ἕτεροι πολλοί. ἔξεστι ὅτι μὴ πρῶτοι, ἀλλὰ καὶ ἄλλοι πρὸ ἡμῶν. εἰ δὲ καὶ μόνοι, ἢ πρῶτοι, ἀλλ' ὅτι ποτὲ κρεῖττον ἀρξασθαι ἔργων καλῶν. εἶθ' ὅτι ὅσιον. δίκαιον δὲ ὄντως· ἢ γὰρ θεοῖς ἠρεσμένον, ἢ τελουτηκόσιν. ἐφεξῆς ἦ, ὅτι ἀναγκαῖον. εἶθ' ὅτι χρήσιμον, καὶ ὅτι λυσιτελές, καὶ ὅτι πρὸς ἀσφάλειαν ὠφελιμώτατον, καὶ ὅτι προκαταρκτικὸν ὧν κρείττονων πραγμάτων, ὅτι ἡδύ, καὶ ὅτι εἰ μὴ πρᾶξαι μετάνοιαν φέροι, καὶ δυσεπανόρθωτόν ἐστιν. ἐκ δὲ τοῦ χαντίου· εἰ γὰρ τὸ χαντίον ὠφέλιμον πρᾶξαι, ὄντως πρακτέον· καὶ εἰ τὸ χαντίον αἰσχρόν, ὄντως καλόν· καὶ εἰ ἐκεῖνο ἀσύμφορον, ὄντως συμφέρον· καὶ εἰ τὸ χαντίον ἀηδές, ὄντως ἡδύ. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τοῦ ὁμοίου· εἰ γὰρ τὸ ὅμοιον αἱρετόν, καὶ ὄντως αἱρετόν. ὁμοίως δὲ καὶ ἐκ τοῦ ἐλάττονος, καὶ ἐκ τοῦ μείζονος, καὶ ἐκ τῶν μέρους, καὶ ἐκ τοῦ τέλους, ὃ χαίρειν καὶ τὸ πρᾶγμα αἱρησόμεθα. εἰ γὰρ τὸ τέλος αἱρετόν, καὶ τὸ ποιητικὸν τοῦ τέλους αἱρετόν. μετὰ δὲ ταῦτα, ἐκ τῆς περιοχῆς. ὅτι πολλὰ γὰρ αὐτῷ περιέχει πράγματα καλά, ἢ συμ-

φέροντα, ἢ ἡδέα. εἶτα ἐκ τοῦ πῶς τοῦ πράγματος ἐπιχειρήσομεν, καὶ ἐκ τῆς περὶ αὐτὸ τὸ πρᾶγμα, καὶ χρόνου ἐκ τοῦ μετὰ τὸ πρᾶγμα. ἐὰν μὲν ὀλίγος καὶ τελεωτόρων ἔπῃ, λυπηρὸν ἂν δ' ἑκάστου τοῦ πράγματος μόνου τόπων, καὶ τὰς τῶν ὠφελημάτων αὐξήσεις, ποιητοῦ γε, καὶ πολιτικοῦ, καὶ φιλοσόφου μαρτυρίας. ἔτι δὲ καὶ εἰ πόλεως ἐπιδέοι σωφρόνων τοῖς λεγομένοις· καὶ τούτων μνημονευτέον, μὴ χύδην, μηδ' ὡς ἔτυχεν, ἀλλὰ κατὰ αὔξησιν ποιουμένους τὰ πράγματα πρῶτον, ἀπὸ τοῦ ἑνὶ ἀνδρὶ καὶ ἰδιώτῃ πεπραγμένου, ἔπειτα ἀπὸ τοῦ ἄρχοντος, ἢ βασιλέως. ἔξεστι δὲ, ἀπὸ τοῦ πόλεως, καὶ ὧδε ποιεῖν· ἀπὸ τῶν χώρας ὄντων, ἢ ἐθνῶν γεγονότων· μᾶλλον τοῦ λόγου γένηται. ἐκ δὲ τοῦ χαντίου ἀνασκευαστέον. τρόπῳ δὲ ἄλλῳ ποιησόμεθα τὸν λόγον, λαβόντες καὶ τὸν τόπον ἐποιησάμεθα, ἀνωθεν ἀπὸ τῶν πρώτων ἀρχόμενοι, καὶ ποιοῦντες μέχρι τοῦ τελευταίου. πρακτέον δὲ ἐνίοτε, ἕως τίς θέσις πρώτη ἀπὸ τοῦ πρακτικοῦ· οἷον, εἰ πολιτευτέον; ὅτι τῷ μὲν οὖν κατασκευάζοντι, ὡς χρὴ πολιτεύεσθαι, λεκτέον πρῶτον μέν, ὅτι δυνατὸν ὄντι τῷ σοφῷ πολιτεύεσθαι· ἔπειτα δὲ, ἢ, ὡς κατὰ φύσιν ἐστὶν οἷον ὂν καὶ ἐν θηρίοις ὑπάρχειν πολιτείαν, καὶ ἑκάστης ἀγέλης ἔστι τις ἡγεμών, καὶ ὂν πρὸς βαρβάρους καὶ

ὃ παρ' ἕλλησι, καὶ παρ' αὐτοῖς (ὡς λόγος) τοῖς θεοῖς, ἀεὶ ἄρχουσιν οἱ σπουδαιότατοι. ἑξῆς δὲ, ὅτι καὶ ῥᾴδιον τῷ σοφῷ πολιτεύεσθαι. ἐγγεγυμνασμένος γὰρ ταῖς περὶ ἠθῶν ἀνθρωπίνων πραγματείαις οὐκ ἀῤῥύθμως ἀνθρώπων προστήσεται. ἔπειτα ὅτι εἰ καὶ μὴ ῥᾴδιον ἦν, ἀλλὰ προυργιαίτερόν γε χρὴ τίθεσθαι τῶν πόνων τὴν τῆς πόλεως εὐδαιμονίαν. ἑξῆς δὲ, ὅτι καὶ συναγωνιστὰς ἔχει πολλοὺς τῶν συμπολιτευομένων. καὶ ὅτι μὴ πρῶτος, ἀλλὰ πολλοὶ ἐπολιτεύσαντο σοφοί· πιττακός, σόλων, λυκοῦργος, ζαλευκος, ἄλλοι μυρίοι. ἔπειθ' ὅτι καὶ μηδεὶς ἦν πολιτευόμενος καὶ πάλαι, καὶ νῦν, ἀλλ' ἐπαινετώτερός γε ἀρχόμενος καλῶν ἔργων. μετὰ δὲ ταῦτα, ὅτι ἁρμόττει τῷ σοφῷ πολιτεύεσθαι. τίς γὰρ ἄμεινον αὐτοῦ κρινεῖ τὰ δίκαια, καὶ συμβουλεύσεται τὸ συμφέρον, καὶ νόμους, καὶ ψηφίσματα εἰσηγήσεται, καὶ ἀδωροδόκητα ταῦτα διαπράξεται; ἐν τίνι δὲ ἔργῳ μᾶλλον ὠλιδείξεται τὴν ἀρετὴν, καὶ τὴν πρὸς τὸν θεὸν ὁμοιότητα; πρὸς δὲ τούτοις, ὅτι δίκαιον, ἀποδοῦναι τῇ πατρίδι, καὶ τοῖς πολίταις, καὶ τοῖς πρώτοις θεοῖς τὰς ἀμοιβὰς τῆς παρ' αὐτοῖς τροφῆς καὶ παιδείας. ἔπειθ' ὅτι ὅσιον, καὶ κεχαρισμένον ἐστὶ τοῖς θεοῖς, οὐκ ἀνθρώπους καλῶς πολιτεύεσθαι.

λιτεύεσθαι. ἑξῆς δὲ, ὅτι καὶ τοῖς κατοιχομένοις ἡδύ ἐστι σώζεσθαι οὐκ συγγενεῖς. εἶθ' ὅτι ἀναγκαῖόν ἐστι τῇ πόλει ἔχειν τινὰ τῶν προνοουμένων αὐτῆς, καὶ μάλιστα σπουδαῖον. ἄνευ γὰρ τούτου, πόλις οὐκ ἂν δύναιτο συστῆναι. μετὰ δὲ ταῦτα, ὅτι καὶ αὐτὸς ἑαυτοῦ τις ἐνδοξότερος γίνεται πολιτευόμενος, κἂν τέως ἀφανὴς ἦν. ἔπειθ' ὅτι λυσιτελέστατα ἂν τὸν καθ' ἡμέραν βίον διαγοι εἰς χρημάτων λόγον, καὶ ὅτι ἀσφαλέστατα τοῦ παρὰ τῶν συκοφαντούντων, καὶ ὠλιβουλευόντων φθόνου ἀπηλλαγμένος. ἑξῆς δὲ, ὅτι ἄρχει, καὶ προηγεῖται τὸ πολιτεύεσθαι τὸν σοφὸν μειζόνων τε καὶ καλλιόνων πραγμάτων, οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ· καὶ ὅτι καὶ ἥδιστος ὁ βίος τῶν πολιτευομένων. οὐκ δὲ σχεδὸν παρακολουθεῖν πέφυκε καὶ τοῖς πλείστοις τῶν προειρημένων τόπων. ἔτι δὲ πρὸς τούτοις, ὅτι ἀμεληθεῖσα πολιτεία, καὶ μεταβολὴν ὠδὶ τὸ κακὸν λαβοῦσα, δυσεπανόρθωτός ἐστι, καὶ τῷ πρὶν γενέσθαι πονηρὸν ἠμεληκότι μετάνοια γίνεται, ὅτε μηδὲν ὄφελος. ἑξῆς δὲ ἐκ τῶν ἐναντίων. εἰ γὰρ τὸ ἀντιπράττειν τῇ πατρίδι αἰσχρὸν, τὸ πολιτεύεσθαι καλὸν· εἰ ἐκεῖνο ἀσύμφορον, οὐκ συμφέρον· καὶ εἰ ἐκεῖνο ἀηδὲς, οὐκ ἡδύ. καὶ εἰ τὸ ὅμοιον τῷ πολιτεύεσθαι, ἔστω δὲ τὸ ὠλιμελεῖσθαι τῶν

νέων, εἰ καλόν ἐστι καὶ συμφέρον, καὶ ἡδὺ, καὶ αὐτὸ τὸ πολιτεύεσθαι καλόν ἐστι, καὶ συμφέρον, καὶ ἡδὺ. ἐκ δὲ τοῦ ἐλαττόνος, ὑπαχειρήσομεν οὕτως· εἰ μιᾶς οἰκίας τοῦ σπουδαίου φροντιστέον, καὶ πόλεως μιᾶς ὑπομελητέον. ἐκ δὲ τοῦ μέρους, ὅτι εἰ ἕνα νόμον συμφέροντα, ἐπεὶ καὶ μίαν συμβουλὴν εἰσηγητέον τοῦ σπουδαίου, καὶ ὅλην τὴν πολιτείαν. ἀνάπαλιν δὲ ἐκ τοῦ ὅλου, εἰ καθολικὴν πολιτείαν εἰσηγεῖται τοῖς ἀνθρώποις ὁ σοφὸς, ὥσπερ καὶ Πλάτων ἐν τῇ πολιτείᾳ, δίκαιός ἐστι καὶ ἐν τῇ ἑαυτοῦ πατρίδι πολιτεύσασθαι. μετὰ δὲ ταῦτα, διελευσόμεθα τὴν εὔδαιμονίαν τῆς πόλεως ἐν εἰρήνῃ τε καὶ πρὰ τὸν πόλεμον, καὶ ἁπλῶς παρ' ὁντιναοῦν χρόνον, ἅπερ τελευτὴ τοῦ καλῶς πολιτεύσασθαί ἐστιν. εἶτα ἐκ τῆς περιοχῆς, ὅτι λόγῳ μὲν καὶ τοῦ δοκεῖν ἕν τι μέλλει τῇ πόλει χαρίζεσθαι τὸ πολιτεύσασθαι, ἔργῳ δὲ πολλά ἐστι. κατὰ γὰρ τοῦ περὶ τὸν ἀριστοτέλην, ἀνάγκη τὸν πολιτευόμενον περὶ πολέμου καὶ εἰρήνης συμβουλεῦσαι, καὶ περὶ χρημάτων, καὶ περὶ φυλακῆς τῆς χώρας, καὶ περὶ τῶν εἰσαγωγίμων, καὶ ἐξαγωγίμων, καὶ περὶ νομοθεσίας τε καὶ τῶν ἄλλων τοιούτων. τῶν δὲ πρὸ τοῦ πράγματος τόπων, καὶ τῶν παρ' αὐτὸ τὸ πρᾶγμα, καὶ μετὰ τὸ πρᾶγμα, δυνατὸν μὲν καὶ ὠθεῖν τῆς προκειμένης

μένης θέσεως παραδείγματα ἐκθέσθαι. Σαφέστερα δὲ ἔσται, ἐφ' ἑτέρας, οἷον, εἰ παιδοποιητέον. λαβόντες γὰρ τὸν γάμον, καὶ πάντα ἁπλῶς ὅσα ἀνάγκη τῆς παιδοποιίας προυπαρξαι ἐπαινεσόμεθα, δεικνύντες καλὰ, καὶ συμφέροντα, καὶ ἡδέα, καὶ εἶθ' ἑξῆς προμαρτοῦντα τῇ παιδοποιίᾳ. μετὰ δὲ ταῦτα, τὰ ὑπαγιγνόμενα· οἷον, τὰς γηρωκομίας καὶ γηροβοσκίας, καὶ τὰς τῶν τέκνων εὐπραγίας, καὶ ἡδονὰς, καὶ τὰ παραπλήσια. ἐκ δὲ τῶν ἐναντίων εὐπορήσομεν εἰς ἀνασκευήν. περὶ μὲν οὖν τῆς πρακτικῆς θέσεως, τοσαῦτα. φέρε δὴ πειραθῶμεν καὶ τῶν θεωρητικῶν τινὰ διελεῖν, ἐκ τῶν αὐτῶν τόπων ὁρμώμενοι, οὐ μὲν τοι τῆς αὐτῆς τάξιν κἀνταῦθα φυλάξομεν, ἣν περ ὠθεῖν τῶν πρακτικῶν· ἀλλ' ὡς ἂν φανῆτε τῷ προτεθέντι προβλήματι ἁρμόττειν, οὕτω καὶ ποιησόμεθα. ἴσως δ' ἄμεινον τὸ αὐτὸ ποιεῖν, καὶ ὠθεῖν τῶν πρακτικῶν. ἁρμόττουσα δὲ τάξις ἑκάστῳ προβλήματί ἐστιν, ὅταν τὸ καταρχὰς τὰ ἁπλούστερα καὶ κουφότερα τῶν ὑπαχειρημάτων λέγοντες, καὶ μᾶλλον προϊόντες, τὰ πληκτικώτερα καὶ βαρύτερα λαμβάνωμεν, καὶ ὅταν τὰ κατασκευαστικὰ τινῶν πρὸ ἐκείνων τάττωμεν ὧν ἐστι κατασκευαστικὰ, καὶ ὅταν τὰ ἀσθενῆ μεταξὺ τῶν ἰσχυροτέρων προεμβάλλωμεν, καὶ ὅσα ἄλλα λέγετε ἐν τοῖς περὶ τάξεως, ἔστω δ' οὖν

ἡμᾶς ζητεῖν, εἰ προνοοῦσι θεοὶ τοῦ κόσμου. οὐκοῦν
πάλιν ἐρούμεν, ὅτι δυνατόν ἐστι τοῖς θεοῖς προ-
νοεῖν ἡμῶν, καὶ μηδὲν αὐτὸ ἐλαττοῦσθαι ἐκ τῆς
περὶ τὸν κόσμον φροντίδος. ἔπειθ' ὅτι ῥᾴδιόν
ἐστι τοῦ θεῷ, καὶ ἄνευ πάσης πραγματείας. ἑ-
ξῆς, ὅτι δαίμονας, καὶ ἥρωας, καὶ ἄλλους θεοὺς συ-
ναγωνιστὰς ἔχει ταύτης τῆς φροντίδος. εἶθ' ὅτι
πάντευ ἄνθρωποι, ἕλληνές τε καὶ βάρβαροι,
ἔννοιαν περὶ τῶν θεῶν ἔχουσιν ὡς προνοοῦσιν
ἡμῶν. σημεῖον δὲ· οὐ γὰρ ἂν βωμοὶ καὶ ναοὶ, καὶ
γρηστήρια θεοῖς ἀνετίθετο, ἐφ' οἷς ἕκαστος εὖ πε-
πόνθασιν, ἢ λιμῷ, ἢ λοιμῷ, ἢ πολέμῳ, ἢ τινὶ τῶν
τοιούτων, ὡς ἀπαλλαγέντευ· οὐδ' ἂν παντὶ
* προσήκοντο νοῦν, καὶ μαλιστα ὁπότε περὶ τῶν
μεγίστων κινδυνεύοιεν. ἑξῆς δὲ, ὅτι καὶ τοῖς σο-
φοῖς δοκεῖ· οἷον, πλάτωνι, ἀριστοτέλει, ζήνωνι.
εἶθ' ὅτι τοῖς νομοθέταις· οὐ γὰρ ἂν ἀσεβείας ἦσαν
γραφαί. εἶθ' ὅτι ἔνδοξοί εἰσι μαλιστα, οἱ ἡγούμε-
νοι προνοεῖν ἡμῶν τοὺς θεούς. εἶθ' ὅτι ἀσφαλέστα-
τα ἂν οὗτοι, καὶ προσεχόντως τὸν βίον διαι-
γοιεν, νομίζοντευ ἔχειν ὑπασκόπους ἀεὶ πασῶν
τῶν κατὰ τὸν βίον πράξεων, καὶ ὅτι μαλιστα
ἡδέως ζῶσιν, οἱ ἡγούμενοι ὑπομελητὰς ἔχειν τοὺς
θεούς. μετὰ δὲ ταῦτα, ὅτι δίκαιος ὢν ὁ θεὸς,
οὐκ ἂν ἀπρονοήτους περιώρα τοὺς σεβομένους αὐ-
τόν.

τόν. ἔπειθ' ὅτι ἡ φύσις τῶν ὅλων μαρτυρεῖ κα-
τὰ πρόνοιαν πάντα γεγενῆσθαι τῆς σωτηρίας ἕνε-
κα τῶν ἐν κόσμῳ. αἵ τε γὰρ τοῦ ἔτους ὧραι κα-
τὰ καιρὸν τὰς μεταβολὰς λαμβάνουσαι, οἵτε
ὄμβροι καὶ καρποὶ καθ' ὥραν γινόμενοι, καὶ τὰ
μέρη δὲ τῶν ὡρῶν, ὡς εὖ δεδημιούργηται ὑπὸ
τῆς φύσεως, πρὸς διαμονὴν καὶ σωτηρίαν αὐτῶν,
καθάπερ καὶ Ξενοφῶν ἐν τοῖς ἀπομνημονεύμασι
δηλοῖ. εἶθ' ὅτι τοῦτο πάντων μαλιστα ἁρμόττει
τῷ θεῷ, τὸ προνοεῖν τοῦ κόσμου. οὐ γὰρ δὴ ὅσιον,
ἀργὸν καὶ ἄπρακτον τὸν θεὸν εἰπεῖν, ἢ νὴ δία
τοιαύτας ἔχειν ἀσχολίας, οἵας ἡμεῖς τοῦ θνητοὶ
εἶναι καὶ ἀσθενεῖς, ἀναγκαίως ἀσχολοίμεθα. εἶθ'
ὅτι ἀναγκαῖόν ἐστι τὸ πρόνοιαν εἶναι. εἰ γάρ τις
τὸ προνοεῖν περιέλοι τοῦ θεοῦ, ἀνήρηκεν καὶ ἣν
ἔχομεν περὶ αὐτὸν ἔννοιαν, δι' ἣν καὶ εἶναι αὐ-
τὸν ὑπολαμβάνομεν. ἐκ γὰρ τῆς περὶ ἡμᾶς
αὐτοῦ φροντίδος τοῦ θεοῦ, καὶ ὅτι ὑπάρχει
πεπιστεύκαμεν. ἔπειθ' ὅτι οὐδὲ τῆς ἀρχὴν συν-
έστη ὁ κόσμος, εἰ μή τις ἦν πρόνοια. ὥσπερ
γὰρ οὐδὲ οἰκία ἄνευ τοῦ οἰκοδόμου δύναται γε-
νέσθαι, ἐξ αὐτομάτου συνδραμόντων τῶν πλίν-
θων, οὐδὲ πλοῖον ἄνευ τοῦ ναυπηγοῦ, οὐδὲ ὅλως
τι τῶν εὐτελεστάτων, ἢ τιμιωτάτων, ἄνευ τοῦ
περὶ ἕκαστον δημιουργοῦ, οὕτω γελοῖόν ἐστι φαι-

ναι, τὸ μάλλιστον καὶ τιμιώτατον ἁπάντων τῶν ὄντων, τὸν κόσμον μὴ ὑπὸ μαλλίστου τινὸς, καὶ θειοτάτου δημιουργὸν γεγονέναι, ἀλλ' ἐκ ταυτομάτου. μετὰ δὲ ταῦτα, ἐκ τῆς γναυπίδος ὅτι δύνηθες δεῖ τῆς φυσικῆς τάξεως τῶν κατὰ τὸν οὐρανὸν φερομένων, μὴ ὑπὸ τινος προνοίας γενέσθαι νομίζειν, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχεν ἕπεσθαι ἐκ τῶν ὁμοίων ὅπου εἰ μὴ δύνατον μάλιστα συστῆναι, μήτε οἰκίαν ἄνευ οἰκονόμου, μήτε ναῦν ἄνευ κυβερνήτου, μήτε στρατόπεδον ἄνευ στρατηγοῦ, μήτε πόλιν ἄνευ πολιτευτοῦ, πόσῳ δὲ μᾶλλον δύνατον συστῆναι ἄνευ προνοοῦντος θεοῦ. πῶς δὲ τοῦτο, ἐκ τῶν μερῶν. ὅτι εἰ ὁμολογουμένως φαίνονται ἡμῖν καὶ πόλεις προνοοῦντες ἥρωες ἢ καὶ δαίμονες, καὶ θεοί, ἀκόλουθόν ἐστιν ὅλῳ τῷ κόσμῳ προνοεῖν θεούς. εἴτε ἐκ τῶν ῥητορικῶν· ὅλῳ λόγῳ μὴ ἀναιρεῖται λόγημα, τὸ δὲ ἀληθὲς, πολλά. εἰ γὰρ ἔστι θεῶν τροφοὶα, ἔστι δὲ δικαιοσύνη δικαίως σωίζεσθαι, ἔστι δυσέβεια, ἔστι δυορκία, ἔστι ἀνοσία, ἔστι σωφροσύνη, ἔστι φιλία, ἔστι χάρις, ἔστ' ἁπλῶς τῶν κατ' ἀρετὴν ὄντων, ἅπερ ἔστι κατ' ἄνδρας νῦν ἐχόντας ἀναιρεῖν. ἐκ δὲ τῶν γναυπίου τόπων, εἰς τὸ ἕτερον μέρος ἐπιχειρήσομεν. ἐπεὶ δὲ τῶν θέσεων αἱ μὲν εἰσιν ἁπλαῖ, αἱ δὲ συνεζευγμέναι, ἁπλαῖ μέν, εἰ γαμητέον, συνεζευγμέναι δέ, εἰ Βασιλεῖ γαμητέον,

γαμητέον, διαιρετέον τὰς συνεζευγμένας εἰς ἑκάστην τῶν συνεζευγμένων, ἵνα σὺν οἰκείοις λόγοις ἑκάστῳ τῶν μερῶν ἀποδῶμεν, καὶ αὐξήσεις καὶ παρεκβάσεις, καθ' ἃ ἐνδέχεται μέρη τῆς θέσεως ποιησόμεθα. ὁμοίως δὲ καὶ πάθεσι, καὶ ἤθεσι, καὶ πεπροπάταις χρησόμεθα, καὶ χρόνου πάσαις τοῖς λόγοις ἐπιδώσεις, πολλὰς εἰσαξόμεν βίων πράξεις, καὶ πρὸς ἑκάστης σὺν ἁρμόζοντας λόγους ἐροῦμεν. οἷον, φέρε ζητεῖν, εἰ γαμητέον. μετὰ τὸ κοινοὺς καὶ καθολικοὺς περὶ πάντων ἀνθρώπων λόγους ὑποθέσθαι, ἐξ ὧν ἢ συνήσομεν τὸ γαμεῖν, ἢ ἀνασκευάσομεν, καὶ καθ' ἕκαστον βίον ὑπερεξελευσόμεθα· οἷον, γεωργὸν, ἐμπορα, στρατιώτην, πλούσιον, πένητος, Βασιλέως. καὶ ὅτω πολλῷ πορισσίαν λόγων ἕξομεν, ὡς τῷ μίαν θέσιν πάμπολλα ποιῆσαι. ταῖς δ' αὐταῖς ἀφορμαῖς τῶν ἐπιχειρημάτων χρησόμεθα, καὶ πῶς τῆς τῶν γνωμῶν ἀνασκευῆς, καθάπερ εἴπομεν καὶ πρότερον.

ΠΕΡΙ ΝΟΜΟΥ.

Νόμος ἐστὶ, λόγημα πλήθους, ἢ ἀνδρὸς ἐνδόξου πολιτικοῦ, καθ' ὃ πᾶσι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει οὖσι εἴς τινα χρόνον ἀφωρισμένον.

σμένον. τῶν δὲ νόμων ἐξέτασις, διχῶς. ἢ γὰρ εἰσφερομένων αὐτῶν καὶ τιθεμένων, ἢ κειμένων ἤδη. τιθεμένων οὖν γίνεται δοκιμασία, εἰ χρὴ κυροῦν, ἢ μή. περὶ δὲ τῶν ἤδη κειμένων, αἱ ἀμφισβητήσεις γίνοντες τοῖς δικαζομένοις, οὐ παντελῶς ἀναιροῦσαι τοὺς νόμους, ἀλλ' ἑκάτερον πρὸς τὸ λυσιτελέστερον ἐξηγούμεναι. καὶ αὔξονται μὲν, ὅσα ὑπὲρ αὐτοῦ γεγράφθαι δοκεῖ. συγκρύπτονται δὲ, τὰ ἐναντία. ἐπεὶ δὲ νῦν ἡμῖν ὁ λόγος περὶ ἀνασκευῆς καὶ κατασκευῆς νόμου, ταῦτα δὲ μάλιστα ἐν ταῖς εἰσηγήσεσι, λεκτέον περὶ τούτου. εἰσφερομένων τοίνυν τῶν νόμων, ἢ κατηγοροῦμεν, καὶ ἀνασκευάζομεν, ἢ συνηγοροῦμεν, καὶ κατασκευάζομεν. μετὰ δὲ τὸ προοίμιον, ἀνασκευάσομεν ἐκ τόπων τῶνδε· ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ οὐκ ἀναγκαίου, ἐκ τοῦ ὑπεναντίου, ἐκ τοῦ ἀδίκου, ἐκ τοῦ ἀξίας, ἐκ τοῦ ἀσυμφόρου, ἐκ τοῦ αἰσχροῦ. γίνεται δὲ ἀσάφεια, ἡ μὲν περὶ τὴν προφορὰν, ἣν τινὲς περιττὴν προσῳδίαν καλοῦσιν, ἢ περὶ τὸ ὄνομα· ἡ δὲ περὶ τὴν ὁμωνυμίαν, ἡ δὲ περὶ τὴν πολυωνυμίαν, ἣν συνωνυμίαν ἕτεροι προσαγορεύουσιν· ἡ δὲ περὶ τὴν σύνταξιν, ἡ δὲ περὶ σύνθεσιν, καὶ διαίρεσιν· ἡ δὲ περὶ πλεονασμὸν, ἡ δὲ περὶ ἔλλειψιν, ἡ δὲ περὶ τῇ μάχην. περὶ μὲν οὖν τὴν

οὖν τὴν προφορὰν ἐστιν, ὅταν ἐν τῇ αὐτῇ τάξει κειμένων τινῶν λέξεων ὁμοίων, δυνατὸν ἦ προφέρεσθαι διττῶς τὸ γεγραμμένον· οἷον, θεράπαινα χρυσία μὴ φορείτω, εἰ δὲ μὴ, δημοσία ἔστω. ἀμφισβητοῦμεν γὰρ, πότερον, ἡ θεράπαινα δημοσία ἔστω, ἢ τὰ χρυσία. δύνατος γὰρ συστέλλεσθαι καὶ ἐκτείνεσθαι τὸ α̅. περὶ δὲ τὸ ὄνομα, ὅταν καινὸν, ἢ σφόδρα παλαιὸν, ἢ ξένον ἢ τὸ γεγραμμένον· οἷον, ἡ ποδοκάκκη, καὶ ἡ ἡμέδα πὴ, καὶ εἴ τις λέγοι τὸν κέραμον αὐτὶ δεσμωτηρίου, καθάπερ κύπριοι. διὸ καὶ τὸ παρ' Ὁμήρῳ τινὲς οὕτως ἐξηγοῦνται· Χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας. περὶ δὲ τὴν ὁμωνυμίαν, ὅταν ἓν ὄνομα, δύο, ἢ τρία σημαίνῃ, ἢ καὶ πλείω· οἷον, εἴ τις γράφει, ἐκ παιδὸς μὴ εἶναι μαρτυρίαν. ζητήσομεν γὰρ ἐνταῦθα, πότερον, ἄνηβον λέγει μὴ μαρτυρεῖν, ἢ υἱὸν ὑπὲρ πατρὸς, ἢ δοῦλον ὑπὲρ δεσπότου. οὗτοι γὰρ ἑνὶ ὀνόματι προσαγορεύοντες παῖδες. περὶ δὲ τὴν πολυωνυμίαν ἀνάπαλιν, ὅταν τὸ σημαινόμενον ἓν, τὰ δὲ ὀνόματα πολλά· οἷον, ἄορ, ξίφος, φάσγανον, μάχαιρα. ἀσάφεια γὰρ καὶ οὕτω γίνεται, ὅταν οἴεταί τις ἴσα τοῖς ὀνόμασιν εἶναι τὰ σημαινόμενα. περὶ δὲ τὴν σύνταξιν. οἷον, ἐπειδὰν φησὶ πιττακὸς νέμεσθαι

πατέρα καὶ μητέρα τῆς ἴσην. ἀμφιβάλλει γὰρ καὶ ἥδε ἡ λέξις. ἆρα γὰρ τοὺς παῖδας λέγει νέμεσθαι τὰ τῶν γονέων, ἢ τοὺς γονεῖς τὰ τῶν παίδων. καὶ ἔτι ὅταν ἐν μέσῳ τι κείμενον ὄνομα, δύναται συντατόμενον ἢ τοῖς πρὸ αὐτοῦ, ἢ τοῖς μετ' αὐτὸ, διαφορὸν διάνοιαν ἀπτελεῖν· οἷον, ὁ νικήσας ἐν πολέμῳ στρατηγὸς ἀνατιθέτω τοῦ ἀρέως ἄγαλμα χρυσοῦν ἔχον δόρυ. ἐστὶ γὰρ τὸ λεγόμενον, ἤτοι ἄγαλμα χρυσοῦν, ἢ δόρυ. περὶ δὲ τῆς συνθέσιν, καὶ διαίρεσιν, ἣν τινὲς περὶ τὴν κοινὴν τοῦ διηρημένου καὶ τοῦ ἀδιαιρέτου φασίν, οἷον ὠθὶ τὸν κλῆρον ἔρχεσθαι νόμου κελεύοντος, ἀδελφοὺς, παῖδας. ἔστι μὲν γὰρ διαιροῦντας φᾶναι, πρῶτον μὲν καλεῖσθαι τὸν ἀδελφὸν, εἰ δὲ μὴ οὗτος εἴη, τότε τοὺς παῖδας παρεῖναι. ἔστι δὲ καὶ συντιθέναι, λέγοντας ἅμα καλεῖσθαι αὐτοὺς. καὶ πάλιν, ὁ ψευδομαρτυρῶν ἁλοὺς, τρὶς χιλίας διδότω. ἤτοι γὰρ λέγει, ὁ τρὶς ἁλοὺς ψευδομαρτυρῶν χιλίας διδότω, ἢ τρισχιλίας διδότω ἅπαξ ἁλοὺς. περὶ πλεονασμὸν δὲ γίνεται ἀσάφεια, ὅταν δυνατὸν ᾖ πλέον τί τοῦ γεγραμμένου συλλογίζεσθαι, ὡς καὶ αὐτὸ δυνάμει δηλούμενον, εἴ τις νομοθετήσειε κληρονομεῖν καὶ τοὺς πρὸς μητρὸς· ἀμφισβητήσειε γὰρ, ἂν καὶ ἡ μήτηρ, ὡς εἰ τοὺς πρὸς μητρὸς νόμους κληρονομεῖν,

κληρονομεῖν, καλεῖ, πολὺ πρότερον αὐτὴν τῆς μητέρα καλοίη. ἡ δὲ παρ' ἔλλειψιν ἀσάφεια, γίνεται πολλαχῶς· οἷον, ὁ πατροτύπτης χειροκοπείσθω. ἐλλείπει γὰρ, πότερον καὶ τὸν δι' ἄνοιαν, ἢ καὶ τὸν ἐπ' εὐνοίᾳ, καὶ πάντας ἁπαξαπλῶς. ἡ δὲ κατὰ πρόσωπον ἔλλειψις, πολυειδής ἐστι. διαφέρει γὰρ δὴ που τὰ πρόσωπα, καὶ φύσει, καὶ ἡλικίᾳ, καὶ ταῖς ἐγγυτέρῳ συγγενείαις, καὶ τύχῃ· οἷον, τοῦ προδότῃ συναναιρεῖσθαι τοὺς παῖδας. οὐ γὰρ διώρισεν, εἰ καὶ τὸν θετὸν, καὶ τὴν θήλειαν. λείπει.

ΤΕΛΟΣ ΤΩΝ ΘΕΟΝΩΣ
προγυμνασμάτων.

ΠΑΡΑΔΕΙΓΜΑΤΑ
ΤΩΝ ΠΡΟΕΚΤΕΘΕΝ-
τωρ γυμνασμαλτωρ.

ΜΥΘΟΣ ΠΡΩΤΟΣ.



Ι ΛΥΚΟΙ παρὰ τ̃ προβάτων, εἰρήνην καὶ ἡσυχίαν ἦτον. καὶ ἦλθε ἡ ἡμέρα μεγάλων ἀγαθῶν ἡμῖν τε καὶ ὑμῖν, ἔλεγον. ἀπαλλαγεῖσι γὰρ πολέμου καὶ μάχων, ἀγέλας παρ' ἀλλήλους φοιτᾶν ἀδείως. ἀπογνώμεθα ῥίνιν. ἀλλ' εἰρήνη μὲν βέβαιον ἔσεσθαι ταῖς ἀσυλίαις, καὶ ὁ γραψάντων αὐτὰ κατάρατος ἀπόλοιτο. ἐπεὶ καὶ νῦν παρὰ τούτων ἡ ταραχή, καὶ τὸ ὑποπτεύεσθαι τοὺς λύκους. πολλάκις γὰρ ἁπλῶς παιόντας ἡμᾶς τὰ ποίμνια, προεκπηδῶντων ὑλακτοῦσιν. οἱ δὲ σφόδρα θέλοντες, παροξύνονται, καὶ λυποῦσι. τί οὖν ὑμῖν δεῖ μάχων, εἰρήνης οὔσης πρὸς λύκους; ἐσήχθη τὰ πρόβατα, ποιμένων γὰρ τὸ γνῶναι δικαίους γέμον, καὶ οἱ μάχιμοι ἀπε-

κτέσκορακίζοντο, καὶ ἐφεσήκεσαν οἱ λύκοι. τὰ δὲ ἔρημα κατηδίετο τοῖς ἐχθρῶν λόγοις, οὐ πιστεύσαντες τῷ προσήκουσαν φυλακῇ.

ΜΥΘΟΣ Β'.



ΕΜΝΟΣ ἵππῳ ὠδῇ τῷ τάχει, καὶ ἀπέκναιε τὰ ἄλλα ζῶα, σφόδρα ἑαυτὴν ἐπαινῶν, μᾶλλον δὲ τὴν χελώνην. λυπηρὸς δὲ ἦν, προφέρων τὴν βραδύτητα. καὶ ἡ πληγὰς τοῖς ὀνείδεσι, καὶ ποιεῖται τὴν πρόκλησιν εἰς δρόμον. τῷ δὲ ἵππῳ γέλως τε ἦν ἡ πρόκλησις. καὶ οὐκ ἠξίου διαμιλλᾶσθαι. γέλωτος δὲ πᾶσι καὶ τοῖς ἄλλοις ζῴοις γένεσιν εἰς τὸ παράλογον ὁρῶσι τῆς φύσεως. ἡ χελώνης δὲ τῆς χελώνης, καὶ διαχυζομένης ὡς πόδισαι, ἀναγκάζει τὰ ἄλλα ζῶα τὸν ἵππον μὴ ἀπαρνηθῆναι τὴν ἀγωνίαν. ἀποδείκνυται δὴ τὸ σάδιον, καὶ ἡμέρα τῷ δρόμῳ, καὶ τὸ γνῶσθαι ὁ μὲν ἵππος ἐτρύφα παρὰ τὴν φάτνην, τῇ δὲ χελώνῃ μελέτη διὰ συνεχὴς, καὶ δὲ νυκτὸς προϊόσης ἐλκυσ. ἦκε δὲ ἡ ἡμέρα, καὶ μεσοῦντος τὸ θέατρον, διαμπλῶν, ὄνων, ὀρνέων, οἷς τε ἀνθρώποις χρῶνται, καὶ ἐλάφους συναγαγὼν ἡ φήμη,

φήμη, καὶ ἐμεσόλια τὸ θέαζρον ὡς πρὸς παιδιάν σης τ̃ χελώνης ἐπεὶ ἦ ἤρθη τὸ σημεῖον, καὶ θεῖν ἐξῆν, ὁ μὲν ἵππος ὠπεσλημμένος, ὥσπερ καὶ πρωΐην, ἔμεινεν γὰρ ἀργέα τε καὶ λόρῳ· τῇ δὲ ἡ μελέτη τάχος ἐσλεσλώκει, καὶ νίκα. καὶ σὺ, ὦ παῖ, μὴ τῇ φύσει πισεύσας καθεύδε, ἀλλ' οἷσ καὶ πόνου σλεῖν· εἰ δὲ μή, πρασδοκᾶσθαί σοι ῥᾳσλίως ἐκεῖνος, οὐκ οὖ ὠφυκώς.

ΜΥΘΟΣ γ'.

ΔΟΞΕ τῷ δὶι βασιλεῦσαι καὶ τὸ ὀρνίθων γένος, ὦ σλᾶτες μᾶ πρὸς ἀγῶνα ἁλλήλους ἐκάλε, ὡς λώσων τοῦ καλλίσῳ φανέντι τ̃ ὀρνίθων ἀρχήν. ἐκκαλωπίζετο γὰρ τὰ ὄρνεα, τὰ μὲν ὑπ' ἀηναῖς, τὰ δ' ὑπ' ὠκυαῖς τε καὶ λήμναις, καὶ τῶν πτερῶν ἀξεκαλεῖτο ὁπόσα ἑαυτοῖς ὥραν ἔκ ἔφερον. ὁ δὲ λοφιὸς (ὧν γὰρ ἄμορφος) ὠπτερνᾶτο διάσλε. τ̃ πτερῶν ὁπόσα ἐπέπλει τοῖς ὕδασιν ἀερόμενος, ἕκασον ἑαυτῷ πρεσετίθει, σωαρμόττων σοφῶς ἄλλο ἐπ' ἄλλῳ, καὶ χρῆμα ποικιλότερον γίγνεσαι. καὶ ὡς ἦκεν ὕδε τὸν λεΐσιν, ἐπέτρεφε μὲν τῷ ὀρνέῳ τὰ ὄμματα· θαλερῷ δὲ ὑπέβαλλε καὶ

λε καὶ αὐτοῦ τοῦ λικασῆ. ὥστε ὑπεχώρει μὲν αὐτῷ καὶ ὁ λευκότατος λύκνος· μικρὸν δὲ ὑπαὼς ἐλόκα, καὶ αἱ τούτου βαφαὶ, καταπεφρόνητο δὲ καὶ ἀετοῦ ἡ σεμνότης. μέλλοντος δὲ ἤδη τοῦ λιὸς αὐτοῦ ἐγχειρίζειν τὸ σκῆπτρον, ἡ γλαὺξ ἱλοῦσα τὸ ἑαυτῆ ὑπ' τῷ λολιῷ πτερόν, πωσιῦσα ἀπέπτα, καὶ ἄλλος τὸ ἑαυτοῦ, καὶ πᾶς τὸ οἰκεῖον. ἀπελθόντων δὲ τῶν ἀλλοτρίων, ἐγυμνοῦτο τοῦ λολιοῦ τὸ εἶδος. καὶ ἐγελᾶτο τὸ μὴ τοῖς οἰκείοις λοσμεῖσθαι, βραχεῖαν μὴ τ̃ ἀπόλαυσιν, πολλῶν δὲ ἐλεγχθέντι ποιεῖ τ̃ αἰσχύνην.

ΔΙΗΓΗΜΑ ά.

ΗΙΑΝΕΙΡΑΝ τ̃ οἰνέως ἐβάλετο μὲν γαμεῖν ἡρακλῆς. εἶχε δὲ τὸν ποταμὸν ἀχελῶον ἔρως ἡ λόρης. ὁ δὲ ἀμφότερα λεσλοικῶς, θάτερον χαρίζεσαι. σπάσας δὲ ἄθλον τὴν θυγατέρα, διαγωνίζεσθαι ἐκέλευε. καὶ ἡρακλῆς νίκα παλαίων, τὸν λέρας ἀναστασας τοῦ ποταμοῦ,

καὶ τὸ αἷμα ἔῤῥει, ἀφ' οὗ σειρῆνες ἐγένοντο.

ΔΙΗΓΗΜΑ

ΔΙΗΓΗΜΑ β'.



ΑΚΟΥΕΙΣ ἄνθος ὑακίνθινον, ὦ Ἡρῶ πάλαι μειρακιον ἀμυκλαῖον, καὶ καλόν. ἐρασαὶ ἦ αὐτοῦ γεγόνασι λύο, Ζέφυρός τε καὶ ὁ Λητοῦς. ἐπεὶ δὲ ἐχαρίζετο τῷ θεῷ, βουλόμενος φόνον ὁ Ζέφυρος ἐπ' αὐτῷ, καὶ τηρήσας ἀφιγότα λίσκον, ἐπαισλύετο γὰρ ὑακινθος ἀπόλλωνι τὰ φιαῦτα, πλεῖ τε ἀρ' αὐτοῦ ταὐγέτου, καὶ πρὸς τρέπει τῷ μειρακίῳ τὴν βολίδα, καὶ τὸ μὲν ἔκειρε. ἡ δὲ γῆ ἠλέει τὸ πάθος, καὶ αὖξει τὸ ἄνθος.

ΔΙΗΓΗΜΑ γ'.



ΡΩΣ ἄπεστι ποταμός. πόθον οὖν ἐμβεβλήκαν ἀλφειῷ, σικελικῆς ὠκυτῆς ἀρεθούσης τόνομα. πλαγεὶς δὲ ἔρχεται λὶ ἰονίου παρ' αὐτῆ, φυλάττων ἀμιγὲς ἡ ἐν θαλάττῃ τὸ ῥεῖθρον.

ΧΡΕΙΑ α'.

Ἀλέξανδρος ἐρωτηθεὶς πότερος λῖνος, πότερον ἂν ἔχοι οὗτος θησαυρὸς, οὗτος φίλος ὑπέλαβεν.



ΤΙ μὲν μέγας καὶ θαυμαστὸς ὁ Βασιλεὺς μακεδόνων ἀλέξανδρος, καὶ τῶν ἄπαντα ἐκατέραν τῶν αὐτοῦ καταρθωμάτων ἐνέ-

τειμε γνήσιος, καὶ τοσοῦτον οὐκ ἔμπροσθεν καὶ οὐχ ὕστερον παρήνεγκεν, ὡς πρώτην χώραν μὴ λόγου, ἀλλὰ τῆς ἡγεῖσθαι συμφῆσαι, πλὴν εἴ τις ἢ ἀναντάπασιν ἀναισθήτως, ἢ λίαν ἀγνωμόνως ἔχοι. ἐμοὶ δὲ λοκεῖ † καλὰ πρᾶξαι καὶ πρὸς καλὰ καλὰ λόγου τοῖς ἐσομένοις ὑμνεῖν, ὃ τύχη μόνον, ἀλλὰ καὶ σωίσει χρησάμενον πρὸς ἅπαντα, καὶ τὴν παρ' ἐκείνης ῥοπὴν τὰ πρὸς φρονήσεως ἀγαθὰ σωίσεσθαι κρίνω. ὁ γὰρ αὐτὸν ἔπαθε τοῖς ἄλλοις βασιλεῦσιν, οἷς ἄχρηστος μὲν ἡ παιδείας λέκριται, φρὸς δὲ δύσκαιμονίας ὄρος ἡ τρυφή, ἀλλ' ἡγησάμενον δεῖν διαφέρειν οὐκ ἀμοιρεῖν τούτου τοῦ κτήματος τῶν ἀνθρώπων, καὶ βουληθεὶς ἀμείνων εἶναι τῶν ἀρχομένων ἢ τοῦ καλλίσων τῶν ὄντων, ἀρίστοτέλη φέρων ἑαυτὸν σωτῆρα, καὶ κατέκτησε τὸ σοφώτατα μαθητῶν, καὶ τῶν μετὰ ταῦτα λαμπρῶν καὶ βεβοημένων ἢ πρὸς ἐκείνου σωτηρίας τῶν ὑποθέσεων δέηση. πόθεν μὴ οὖν τὸ ἀνδρείας, ἢ τὸ μεγαλοψυχίας, ἢ τὸ πρὸς ἔργοις ἔχειν δεῖν τὸν λογισμόν, ἢ ἵν' τοιούτων εἰ δεήσιμι, μακροτέρων αὖ δέοι λόγων. ὡς δὲ κοινὸν ἑαυτὸν κατέστησε καὶ πρὸς οὓς σπούδαστας ὁμιλητικὸν, ὥστε καὶ ἔρασθαι τοῖς βασιλεῦσι δόξαι, καὶ τυχεῖν ἀποκείσεως δύμενους, οὐκ πῶς οὐκ αὖ ἀγαθεῖν; τοῖς μὲν γὰρ ἄλ-

λοις εἴ τις αὐλὸν λέγειεν, ἀδίκημα νενόμισαι. ἀλέξανδρος δὲ εἰ μὴ πῶς τὰς φυτούξῆς ἡμῶν παρεφαίνοιτο, φαύλων αἰσχίσον ἡγεῖτο. καὶ γάρ τοι προσελθών τις, ἤλιτε φη σὺν θησαυροὺς ἴσθι σὺς ὦ βασιλεῦ, καί μοι δοκεῖ ὧδε ἐπαρθῆναι ποιῆσαι, ὁρᾶν μὲν ἅπαν ἔθνος ἥλιον κατεγραμμένον, ἡγεμόνα δὲ πλήθει χρημάτων ταῦτα εἰς τέλος ἥκειν. ὡς δὴ ἀλέξανδρος ἠνέσχετο ὑβρίζειν ὑπέλαβον, εἴ τις ἐρωτήσοι πρὸς χέρας; ἔπειτα ἐκέλευσε δὲ ἰσχνοῖς λαβεῖν τὸν ἄνθρωπον προιάγειν, καὶ δείκνυσθαι τὸ χρυσίου πλῆθος, ἀργυρίου τάλαντα τόσα καὶ τόσα, λαφύρων ἀφθονίαν, ἀλλ' εἰς σὸν φίλους προσαξας ἰδεῖν, μὴ ζητήσης ἕτερον φησὶν ἀλέξανδρος· οὗτοι γὰρ ἐμοὶ θησαυροί. ὡς τοίνυν εἰκότως τούτῳ ἠγήσατο πρέπειν τὴν προσηγορίαν ἢ φιλίας, ῥᾴδιον γνῶναι, εἴπερ ἐξετάσομεν τοὺς τε καιροὺς οἷς ἀναγκη χρῆσθαι αὐτῷ ἀνθρώπῳ, καὶ τύχας ἀμείνους καὶ παραπλησίους, καὶ χείρονας. ἔτι δὲ πρὸς τούτοις ἡλικίας, καὶ ὅτε τις βουλεύεται. ὁπόταν μὲν καιροὶ ταῦτα διαιτῶσι τὰ τ' ἀνθρώπων πράγματα, λέγω δὴ πόλεμον καὶ εἰρήνην. ἑκατέρῳ δὲ μέγιστον ἡ τῶν φίλων ἰσχύει μοῖρις. οἷον, οἷς πολεμοῦσι δεῖ μὲν χρημάτων, δεῖ δὲ ὅπλων, δεῖ δὲ συμ-

μάχων. ὁπόταν μὲν δὴ τῆς ἀπορίαν τῶν χρημάτων εἰς μέσον τιθεὶς τὰ ὄντα ὁ φίλος, ἐκ αὐτοῦ μᾶλλον ἡγεμόνα εἶναι τὴν οὐσίαν, ἢ τῶν σωμάτων; συμβουλίας τὰς ἀρίστους αὐαζητῶν, καὶ λέγων ἐκείνας ὀρθοῖ τὰ πράγματα, ἢ δ' ἐπὶ τινὸς ὅπλων ἀφορῶντος εἰς σὺν φίλους ἰσόντος ὑπόρησαν, καὶ μὴν τόγε τῶν συμμάχων ἀγαθόν, καὶ φιλίας ἡγεμονικὴς ἂν γένοιτο· τὸ δ' αὐτὸ καὶ πόλεσι καὶ τοῖς καθ' ἕκαστα χρήσιμον. καλῶ μὲν γὰρ ἐγὼ πόλιων φίλους, σὺν δίνους τοῖς καθεστηκόσιν. οὗτοι δὲ νόμους τιθέντος, καὶ ψηφίσματα γράφοντες, καὶ γνώμας ἀγορεύοντος, καὶ σὺν ἀδικοῦντας ἐλέγχοντος, καὶ τοὺς χρησοὺς ἀμείβεσθαι πείθοντος. ἀλλὰ μὴν καὶ τοῖς καθ' ἕκαστον μέγα παρὰ τῶν ὠφελείων τὸ ἱερόν. ἐκεῖνοι γάρ εἰσιν οἱ νουθετοῦντος ἁμαρτάνοντας, οἱ σφαλλομένοις ὑπὲρ τὰ βέλτιω μεθιστάντος, οἱ ἀνομένοις ὠφελουμένοις, οἱ ταῖς δυστυχίαις χαίροντος, οἱ τοῖς ἀτυχοῦσι σωφαλγοῦντος. ἐκεῖνοι καὶ πολέμους καταλύειν πειρῶνται ὡς ἄριστα, καὶ τὴν εἰρήνην ὡς ὠφελίμως φυλάττειν, καὶ τὸ πρόσφορον ἑκατέρῳ σωτηροῦντος, ἀεὶ τὰ συνόντα παρατηροῦντος, ἀλλὰ μὴν πόλεως τὰς

μὲν βασιλεύεσθαι, τὰς δὲ δημοκρατεῖσθαι συμ
βέβηκεν, τὰς δὲ ἐν ταῖς ὀλιγαρχίαις καθεστᾶναι.
ὁ δὲ τοῖς ὑπάρχουσιν οἰκείως ἔχων, σώζει μὲν βα
σιλεῖ βασιλείαν, τηρεῖ δὲ δήμοις τὴν ἐλευθε-
ρίαν, φυλάττει δὲ ταῖς ὀλιγαρχίαις τὸ σχῆμα.
ἀλλὰ μὴν τῶν ἀνθρώπων οἱ μὲν πενίᾳ συζῶ-
σιν, τοῖς δὲ πολὺς παρὰ τὴν τύχης ὁ πλοῦτος.
ἑκάτερον δὲ δεῖται πρὸς ὑπερβολὴν τὴν τῶν φί-
λων ῥοπῆς. τοῖς μὲν γὰρ διασώζει τὰ ὄντα,
τοῖς δὲ τὴν πενίαν ἀπικουφίζει. καὶ μὴν ἄγε δ'
ἡμῶν αὐτῶν πράττειν ἀδύνατον, ταῦτα τῇ φί-
λων προσθήκῃ πληροῦμεν. τίς γὰρ οὐκ οἶδεν, ὅτι
δεῖται μὲν γυναικὸς ἀνὴρ κατὰ τὸν Ησιόδον,
αὐτοὶ δ' οἱ γαμεῖν μέλλοντες ἐρυθριάσαιεν ἂν
ὑπὲρ τοῦ γάμου διαλεγόμενοι. ἐνταῦθα δὴ τὸν
ἀπλτήδειον ἡ χρεία καλεῖ. ὁ δὲ πολλοὺς καὶ κα-
λοὺς μελετήσας λόγους, καὶ τὰ ὄντα ἄρας, καὶ τὰ
οὐκ ὄντα προσθεῖς, ῥᾷστα συνάπτει τὰ γενή.
ἀλλ' ἐν ταῖς ἀπβολαῖς τῶν παίδων καὶ τῶν ἀ-
ναγκαιοτάτων, οὗ πολλάκις τὸ πάθος μεῖζον
ἢ φέρειν, τίνες οἱ παρόντες καὶ τὴν λύπης ἀ-
φαιροῦντες, καὶ κωλύοντες ὁρμῆσαι πρὸς ξί-
φος, οὐχ οὗτοι; πῶς ἂν φύγοιεν, ὅστις οὐκ ἄπειρος
φίλων; ἐπεὶ δὲ καὶ πᾶσαν ἡλικίαν ἔγω γ' ἂν
φαίην μέγιστα τοῦ πράγματος ἀπλαύειν, τὸ

γῆρας

γῆρας ἐκεῖθεν κουφότερον τοῖς ἀκμάζουσιν ἀπὸ
τούτων οἱ συνεργοί, τοῖς παισὶν οὐχ ἑτέρωθεν οἱ
τῶν ἀσκήσεων κοινωνοί. οὕτως οὐδέν ἐστιν, ὃ φαίης
ἂν ἔξω καθεστᾶναι τὴν πρὰ τῶν συνήθων χρείας.
ἔστι μὲν οὖν οὐδὲ ταῦτα μικρὰ παραδείγματα
τοῦ σώφρονα ἀποκρίνασθαι τὸν ἀλέξανδρον.
δοκεῖ δ' ἄν μοι τις ἰδεῖν ἀκριβέστερον, ἡλίκον
τὲ πρᾶγμα τὸ τῶν φίλων, εἰ σὺν ἐστερημένους ἐ-
κείνων σκέψαιτο. οὐκοῦν ὁ μὲν τύραννος ἐν φόβῳ
βέβαιον μὲν οὐδὲν τῶν παρόντων ἀγαθῶν ἡγού-
μενος, ἀεὶ δὲ τὸ μέλλον προσδοκῶν χαλεπόν.
ὧ γὰρ οὐκ ἔστι σύμβουλος ἀπρεπέσων μὲν τοῦ χεί-
ρονος, προσαίξων δὲ τοῦ βελτίονι, καὶ πείσων
τὰ μὲν φεύγειν, τὰ δὲ διώκειν, πῶς ἂν ὁ τοιοῦ-
τος ἢ πολεμήσειεν ὅτ' ἄμεινον, ἢ ποιήσειεν τὴν
εἰρήνην ὅτι βέλτιον ἔχει, παρὰ τοῦδ' ἂν σὺν ἐ-
πιβουλεύοντας προμαθὼν ἀποκρούσαιτο πρὸ
τῆς πείρας τὰ δυσχερῆ; τίς δ' ἂν αὐτοῦ νενικη-
κότος συμπαιανίσειε, τίς δ' ἂν ἡττωμένῳ συ
ναχθεσθείη; τῇ πόλει δὲ κηδεμόνος ἀπορούσῃ, τίς
τῶν ὄντων ἀσφάλεια, τίς ὑπὲρ τοῦ μέλλοντος
ἄδεια εἶεν; τοῖς δὲ δὴ καθέκαστον, οὐκ ἀλγεινό-
τατος ὁ βίος, τῆς τοιαύτης κοινωνίας ἐστερημέ-
νος; τίς ἐπ' ἀγορᾶς διαλέξεται, τίς ὅτι χρὴ
πράττειν ὑποθήσεται, τίς ὅτι φυλάξασθαι δεῖ

συμ

συμβουλδύσῃσθ, τίς μοι φίσει συμφορὰ, τίς μεγονομένη παρέσαι; ἀφήρηται καὶ ἡ νεότης ὁ τόρψις ἄνδυ φίλων, καὶ γῆρας βαρύτερον εἰ τὸ δὲ ἀφέλοι τις, καὶ τοῦνία μὴ ἔσθ' ἔχουσα πλοῦτον ἂν εἴη μακρόν. ὁ δέ γε πλούσιος τοὺς μὲν ἐπιβδλδύοντας πολλὰς, τοὺς δὲ βοηθοῦντας ἀδαμῶς ὄψεται. καὶ πολλὰ ἂν εἴη λέγειν αὐτοῖς ἀχρεῦσι φίλων σωεῖδυκται χαλεπά. εἰ πρίνω τοῖς πανίσχυσι φίλων τοιαῦτα πολέμηκε τὰ λῴστα, τοῖς γε ἐν δυπρείᾳ γνωρίμων δὲ δαιμονία πολλὴ παραπλησίως τοῖς μὲν ἥδιστος, τοῖς δὲ βαρύτατος ὁ βίος. καὶ μᾶλλον εἰκότως ἂν μᾶλλον οἱ φίλοι θησαυροὶ προσαγορδυθεῖεν, ἢ ταῦτα ἃ νῦν μέκληται. τί γὰρ τοῦτον παρὰ τὰ χρήματα, ὅσον τὸ παρὰ τούτων, παρετάξαιτο χρήματα πολεμοῦσι καὶ παρεκινδυνεύσουσιν; οὐκ ἔστιν. ἀλλ' εἰσηγήσατο γνώμας; ἀλλὰ μετεμέλησεν ἐνίοις; ἀλλ' ἔλυσε πᾶσιν, ἀλλὰ φρονιμώτερον ἐποίησεν; οὐδαμῶς. καὶ μᾶλλον παύτας ταῦτα, καὶ ἔτι πλέον τούτων παρὰ τῶν πλουσίων, καὶ πρὸς γε αὐτὰ τὰ χρήματα, καὶ παρ' αὐτῶν γένοιτ' ἄν. ἔτι πρίνω οἱ μὲν ἄριστοι τῶν φίλων, οὐ λειπώποτε χείρους τοὺς χρωμένους ἐποίησαν. τὸν δὲ πλοῦτον νομίζομεν πολλάκις εἰς μακρὰν σωτηρίαν, ὥστε

νομιεχόντως ἀλέξανδρον μετέσησεν ἀπ' ἐκείνων ὧν τοῦτοις τύνομα. διόπερ ἀεὶ φίλων δεῖ τοῖς μέλλουσι δυσδαιμόνως βιώσεσθαι. ὅτῳ δὲ οὐκ ἔστι τοιοῦτον κτῆμα, παρὰ πλήσιον εἰκῆ πεπονθὼς τοῦ ἑτέρας ἐσόμενον τοῖν χεροῖν. ὅσον γὰρ ἀμήχανοι οἱ πόδες τοῦ βαδίζειν σωεισφέρουσι, τοῦτον τῶν τοῖς πράγμασι οἱ φίλοι παρέχονται. οὐχ ἁμάρτοι δ' ἂν τις ὁδὲ τὸν συζυγίαν τῶν ὀφθαλμῶν παραβαλὼν τὴν κοινωνίαν τῶν φίλων. ἔστι μὲν οὖν καὶ παρὰ τῶν καθ' ἡμέραν γινομένων πλῆθος ἀποδείξεων λαβεῖν· καὶ μέσος ὁ βίος τῶν εἰς τοῦτο φρονόντων. ἔχοι δ' ἄν τις κατὰ τοὺς ἄνω χρόνους τῶν ἡμιθέων ὁρῶν, ἀπ' αὐτῶν κομίσαιτο τὰ παραδείγματα. τί γὰρ τοῦτον τὸν ἡρακλέους κατὰ θησέως φιλίας; ἢ τί τῶν καθορθωμάτων αὐτοῖς; οὐ γὰρ ἦν αὐτὸ πορευθῆναί τε κατὰ φρονῆσαι πρὸς πλησίον, κατὰ συμπονδῦσαι πρὸς τοὺς ἄθλους. ὅτε γ' ἀχρεοφὴς ἐδείκνυτο αὖθις τῷ ἡρακλεῖ, τίς ἀγαθὸν αὐτῷ ἀθήναζε πρὸς τὴν χρείαν ἤρκεσεν. ὁ θησεύς; αὐτὸς δίνων δὲ πεφεύθω χρώμενος, ἀξιεπάσμενε ἄ τε ἀπήλαυσεν, ἅτε πρὸς ἔχων. ὅκ ἂν ἐδύνατο μὴ τῷ θησεῖ τὴν ἐλεύνην γενέσθαι δι' ἀρετῆς. ἐπεί γε πέθων ὅκ εἶχε λαβεῖν, ἦν δὴ ὁ λίνος ὁ μικρὸς, τοῦ μὲν ἐκ τοῦ πατρὸς, τοῦ δ' ἐκ τοῦ ἀδελφοῦ καὶ τοῦ ἀμφοτέρων

λακεδαίμονι. ἀλλ' ὅμως ἐτόλμα θησεὺς, οὐκ ἀπελείπετο δὲ πορίθους τὴν χαρὶν πρὸ τῶν φόβων τιθέμενος. καὶ οὐκ ἐμέμψατο τὴν προθυμίαν· ἀλλὰ τάχιστα δὴ τὴν ἀντίδοσιν ἐκομίζετο. βουληθεὶς γὰρ μνησεῦσαι κόρην τὴν διὸς καὶ δήμητρος, ἐκέλευσε τοῦ μὲν θησεῖ συνακολουθήσειν. ὁ δὲ τὰ μὲν πρῶτα κατέχειν ἐπειρᾶτο, πρόδηλον εἶναι λέγων τὴν συμφοραὶ. ἐπεὶ δὲ πείθειν λέγων οὐκ ἴσχυε, ἐκοινώνει τῶν κινδύνων, εἰδὼς μὲν ἃ πείσετε, παθεῖν δὲ μᾶλλον αἱρούμενος ἢ λυπῆσαι τὸν φίλον. τὸν δὲ παῖδα τῶν ἀγαμέμνονος, πῶς ἀκούομεν δατεθεῖναι μετὰ τὸν φόνον τοῦ μητρὸς; οὐκ ἠλαύνετο μὲν ὑπὸ τῶν ἐριννύων, ἐμισεῖτο δὲ ὑπὸ τῶν ἰδίων, ἐπάρατος δὲ καὶ δυσσεβὴς ἐδόκει παρὰ πᾶσι καὶ μιαρώτατος εἶναι; ἀλλ' ὅμως ὁ πυλάδης οὐκ ἀπεστράφη μετὰ τοῦ τύχης τὸν ἄνθρωπον, οὐδὲ ἐνθυμηθεὶς ὡς μεταλήψεται τοῦ ἀδοξίας ἐγκαλυψάμενος ἔφυγεν, ἀλλὰ παρῆν καὶ συνηκολούθει καὶ συνηγωνίζετο, καὶ θεραπεύειν οὐκ ἠσχύνετο τὸν αὐτόχειρα τῆς μητρός. μικρὰ ταῦτα, πρὸς τὴν ἀχιλλέως γνώμην κρινόμενα. ἐκεῖνος γὰρ, ἤδη σαφῶς ἀκούσας, ὡς δεῖ δυοῖν θάτερον, ἢ τὸν ἕκτορα μὴ διαφθείρειν, ἢ καὶ αὐτὸν τεθνᾶναι· ἀλλ' ὅμως ἔμπροσθεν τῆς ἑαυτοῦ ψυχῆς ἐποιήσατο,

σατο, τιμωρῆσαι πατρόκλῳ. αὕτη μὲν ἡ τῶν πραγμάτων ἀλεξάνδρῳ τιμωρία. δεῖ δὲ μὴ Εὐριπίδην παραλιπεῖν. πάντως δὲ οὐκ ἀμφισβητήσιμος ἡ σοφία τοῦ ποιητοῦ. τί οὖν ἐκεῖνος φησί; μηδὲν εἶναι πρεπιμότερον φίλου σαφοῦς, ὃ δὴ πᾶν ἐφεξῆς ἀρίστον. εἶτ' ἐπειδὴ τοὺς ἀνθρώπους ἑώρα πλοῦτον καὶ τυραννίδα θαυμάζοντας, διαῤῥήδην φησὶν, οὐ πλοῦτος, οὐ τυραννὶς, τοῦδε βέλτιον. εἰκότως ἄρα θησαυροί τε ἐνομίσθησαν ἀλεξάνδρῳ, καὶ ὠνομάσθησαν οἱ φίλοι. ἔστι τοίνυν ἐχόντων νοῦν, κἀκεῖνον ἐπαινεῖν τοῦ λόγου, καὶ αὐτοῖς μιμεῖσθαι τοῖς ἔργοις. ὡς οὐκ ἔσθ' ὅπως εὐδαιμόνως βιώσομεν, εἰ μὴ φίλων πολλῶν καὶ ἀγαθῶν εὐποροῖμεν.

Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπὼν, τί γὰρ ταῦτα παιδεύεις.

ΧΡΕΙΑ ΑΛΛΗ.

ΑΠΑΣΑ μὲν ἡ φιλοσοφία τίμιον καὶ δαιμόνιον. καί μοι δοκοῦσιν οἱ τοὺς ἐν αὐτῇ ζῶντας μὴ θαυμάζοντες, ἴσως ἂν πάν

των τῶν θεῶν ὀλιγωρῆσαι. χρὴ δὲ τοῦτον αὐτοὺς
τῶν λοιπῶν διαφέρειν, ὅσον περ ἐκείνους τῶν θη-
ρίων. τῶν δ' αὖ τοῦτον ἡρημένων τὸν βίον, εἰκό-
τως ἄν μοι δοκεῖ διογένη τε διαφερόντως ἀγα-
σθῆναι, καὶ τὴν ὁδὸν ἣν οὗτος ἦλθε. τὸ μὲν γὰρ
οὐρανοῦ τε καὶ γῆς μέτρα, ἡλίου τε καὶ σελήνης
διερευνήσασθαι, ἄλλοις ἀφῆκεν. αὐτὸς δὲ με-
τῆλθεν ἀρετὴν, ἣ μάλιστα τοὺς ζῶντας ὀνήσειν
ἔμελλε· πλούτου κατεφρόνει, τῶν ἡδονῶν ἐκρά-
τει, τὸ σῶμα παρεῖχε τοῖς πόνοις, τὴν τῶν δυ-
νατῶν εὐδαιμονίαν δυστυχίαν ἐνόμιζε. πάντας
δὲ ἀνθρώπους οἰκείους ἡγούμενος, ἐπεμελεῖτο
πάντων· καὶ συλλήβδην εἰπεῖν, ἡρακλέους ἑαυ-
τὸν ζηλωτὴν κατέστησεν, αὐτῇ βακτηρίᾳ πε-
ριιὼν καὶ τοῦ βελτίω ποιεῖν οἷς ἐντυγχάνοι.
οἷον δ' αὖ κἀκεῖνο διεπράξατο; παιδὶ μὲν
γὰρ ὁ παιδαγωγὸς παρῆν, τὸν δὲ προσήκοντα
κόσμον ὁ παῖς οὐκ ἐφύλαττε. διογένει δὲ τὸ
πραττόμενον ἐπανορθώματος ἐδόκει δεῖσθαι.
τί οὖν ποιεῖ; τὸν μὲν νέον ὑπερβάς, καὶ τὸν ἐφε-
στηκότα φέρεται, καὶ παίει κατὰ νώτου πολ-
λάς, καὶ προστίθησι ταῖς πληγαῖς τὸν λόγον·
ὡς οὐκ ἄρα χρὴ τοιοῦτον εἶναι παιδευτήν. πρῶ-
τον μὲν ἀμφοτέρων εἵνεκα τὸν ἄνδρα ἐπαινῶ·
τοῦ τε μὴ κατοκνῆσαι ταῖς χερσὶ χρήσασθαι
πρὸς

πρὸς τὸ σωφρονῆσαι, καὶ τοῦ τὴν αἰτίαν εἰπεῖν,
δι' ἣν τοῦτο πεποίηκε. τούς τε γὰρ σφόδρα ἀδι-
κοῦντας ἔργῳ παιδεύειν ἠξίου, τό τε μὴ σιω-
πῆσαι, καὶ τὸ πόθεν καὶ τὰς πληγὰς παρωρμή-
θη, δηλοῦντος ἣν τῷ πεπονθότι τοῦ χαίρειν ταῦ-
τα ἐπεπόνθει. εἰ γὰρ πλήξας ἀπιὼν ᾤχετο σιω-
πῇ, οὐδὲν ἂν ἐκώλυσε τὸν παιδαγωγὸν ἀγνοῆ-
σαι πλημελήσαντα, τῇ δὲ ἀγνοίᾳ μηδὲν βελ-
τίω γενέσθαι. καὶ μὴν τὸ τῶν ἁμαρτημάτων τοῦ
νέου παρὰ τοῦ παιδαγωγοῦ τὴν τιμωρίαν λα-
βεῖν, νοῦν ἐχόντων εὑρήσομεν. ἐνθυμηθῶμεν γὰρ
ὅτου χάριν οἱ γονεῖς μισθοῦνται τοὺς καὶ σωφρονή-
νους τοῖς υἱέσιν. ἆρά γε μάτην καὶ θυμοῦντες
δαπανᾶσθαι χρήματα, ἀναλίσκειν πλοῦτον.
πόθεν; οὐδεὶς οὕτως ἀπόπληκτος. ἀλλὰ πρὸς
τί δὴ βλέπουσιν; ἴσασιν ἐκεῖνοι τὴν νεότη-
τα, ἐπιρεπῆ φύσει πρὸς τὰ ἁμαρτήματα.
κατὰ δὲ τῶν χρηστῶν ἀεὶ τὴν ἐναντίαν δό-
ξαν ἔχουσαν, καὶ φεύγουσαν μὲν ἀφ' ὧν ἐ-
στὶν εὐδαιμονίαν λαβεῖν, διώκουσαν δὲ δι' ὧν
ἐστὶν ἀθλιωτάτους γενέσθαι. ἓν οὖν τοῦ νέῳ
μανθάνειν εἴη παρὰ τῶν πρεσβυτέρων, τισὶ μὲν
προσεκτέον, τίνων δ' ἀφεκτέον. τούτου χαίρειν
τὴν πλείστην † χαίρειν ἐντεῦθεν εἰσφέρονται, σπουδὴν
παιδαγωγοὺς ὡς μάλιστα βελτίους ἐρευ-
νᾶν.

ναῦν· ἱκανόνα δὴν τῶν παντὸς πραγμάτων ποιεῖ
μενοι, τὴν ἐκείνου γνώμην. τεκμήριον δὲ· δὴν
γὰρ ἀνθρώπων ἕκαστον, ὃν τὸν παιδαγωγὸν
τρόπῳ τεκμαίρεται ὁμοῖον τὸν νέον. ἐὰν μὲν χρη-
στὸς ἐκεῖνος, καὶ πολὺ μᾶλλον τοῦτον πρόσθεν τὰ βέλ
τίω. μὴ τοίνυν δὲ ὄντος, χείρους ἐλπίδας καὶ πε
ρὶ τὸν νέον λαμβάνε. ὀκνῶ δὲ τὸν μὲν πατρὸς ἀργύ
ριον λοιδορεῖν, τὸν δὲ παιδαγωγοῦν τῶν λοιπῶν
φροντίσαι, μηδὲν ὑποτελλόμενον. σχεδὸν γὰρ
καὶ παίειν, καὶ ἄγχειν, καὶ τριβλοῦν, καὶ ἃ δὴν
λιποδῶν πρὸς αὖ οἰκέτας, ταῦτα καὶ τὸν ἡνίο
χοις ἐφιέσθαι ἀξιοῦσι ὑπάρχειν· ὡς μηδεὶς
ἀπόλογον ἐσύδρομε. τί οὖν φημι; μᾶλλον δὲ,
τί λιογένης φησίν; ἂν πίνῃ πρὸ τοῦ μυρίου
βούλεται, μηδαμῶς ὧν τῶν ἐπιτρεπε, μὴ τὸν
ὕπνον δὲ τὸν ἔξω τοῦ προσήκοντος λιάκοπε.
καὶ πῶς ἀργίαν ἐκφοβούμενον, ἀνέγειρε, μὴ πα
ρατήρει βλέμμα, καὶ σχῆμα, καὶ φωνὴν μὴ
παρὰ μέλος συμβῇ. καὶ τὰ μὲν πρῶτα πειρῶ
νουθετεῖν. εἰ δὲ τι αὐτεπαινῇ, μολάζε, μὴ πικρὸς
ὑπὲρ σωφροσύνης τῆς φιλοτιμίας φαίνε μᾶλ
λον, ἢ φιλανθρωπίας ζημιοῦ. πάρεισιν ἡμᾶς, ξαῦ
νε κατὰ τὸν νοῦν πολλάς. φοβέομαι τὴν σὴν
βακτηρίαν. εἰ γὰρ οὐκ ἐκεῖνος τὴν σὴν, σὺ τὴν
ἐμὴν. τούτους ἡγεῖσθαι χρὴ λιογένους οὐ λό-

γους.

γους. τί γὰρ τῷ, τί γὰρ τοιαῦτα παιδεύῃς; εἰ-
πεῖν, ταῦτα πάντα παρέλυφεν. ἴδε τοίνυν
εἰ δεῖ σκοπώμεθα. πότερον οὖν παρὰν λιά-
παντος ὄφελος παιδί, ἢ οὔ; εἰ μὲν γὰρ ἀπειράτει,
πολλοστὸς ἂν τοῦ νέου ἁφὴς· εἰ δὲ σωφρόνου,
πότερον πρέσκοπος τοῖς πλημμελήμασιν, ἢ οὐ;
εἰ μὲν γὰρ βουλομένου τοῦτ' ἂν ἁμαρτάνειεν,
τίς τοῦ τοιούτου πονηρότερος; εἰ δὲ οὐ βουλο-
μένου, τί παθὼν ἂν ἐκώλυεν; οὐ γὰρ δὴ χείρας
ἔμελλεν ὁ νέος αὐταίρειν. τὸ γὰρ πείθεσθαι, καὶ
οὐκ αὐτοβλέπειν, ἀναγκαῖον ὂν ἠπίστατο. εἰ
δὲ ἃ μὲν παιδαγωγὸν ὁ λιογένης, ταυτὰ τὸν
νέον ἐτύγχανε δρᾶσας, οὐκ ἂν ἐκεῖνον εἰπεῖν
νομίζομεν; ὦ σοφώτατε λιόγενες, ἐμοὶ γὰρ ὑ-
πείληπται καλόν, ὃ λίθωσι πράττειν ὁ λύριος·
καὶ νῦν σὺ μὲν ταῦτα ἀταξίαν, ἐγὼ δὲ παι-
δείαν ἡγοῦμαι. σημεῖον δὲ, τὸ μηδὲ τὸν παιδα
γωγὸν ἀποτρέπειν ποιοῦμαι. εἰ ταῦτα ἤκου-
σαν, ἆρα ἂν ὡμολόγησαν ἂν ἀκρισίᾳ πολὺ τὰς
πληγὰς λιαχρῆσθαι; πάνυ γε. λιόπερ οὐδὲν τοι-
νυν οὔτε ἔπραξαν, οὔτε ἤκουσαν. ἐπεὶ δὲ καὶ
παντάχοῦ τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις τῶν
πραγμάτων σκοπεῖν προσήκον ἐστὶ, καὶ πρὸς
ἐκείνας παντα ἀναφέρειν τὰ λυσιτελῆ. τὸ γὰρ
παρέχον τὴν ἀφορμὴν, καὶ τῶν ἀκολουθούντων

νομίζεται

κομίζεται τὸν λόγον. καὶ τὸ τῆς ἀταξίας ὑπὸ τοῦ παιδὸς ἐγίνετο. κατεσκεύαστο δὲ τῇ τοῦ παιδαγωγοῦ ῥαθυμίᾳ. οὐ δὴ ψιλὸν ἐζήτασε τὸ ἔργον, ἀλλὰ καὶ τὸν δόντα τῷ πράγματι τὴν μεταβολήν. καὶ τοῦ μὲν πράγματι συνέγνω, τὸν δὲ δόντα τὴν ἄδειαν ἐμίσησεν. οὐ γὰρ μὴ συγχωρήσαντος οὐκ ἄν ποτε πέπρακτο, οὗτον ἡγεῖτο δίκην τῶν πραχθέντων ὀφείλειν. καὶ γὰρ ὡς ἀληθῶς τῶν ἀτοπωτάτων, εἰ μέν τι τῶν ἀμεινόνων ὑπὸ τῶν νεῶν γένοιτο, τὸν ἐφεστηκότα τὴν δόξαν καρποῦσθαι. τὸ δὲ ὡς ἑτέρως ἐχόντων, μὴ τὸν αὐτὸν οὗτον ὑπεύθυνον εἶναι. ἐγὼ ἔγνων πολλάκις τὸν μὲν νέον ἀπομνημονεύοντα καλῶς, τὸν δὲ παιδαγωγὸν μέγα φρονεῖν ἀξιοῦντα, καὶ τὸν νέον μὲν ὡς ὀξύτατα συνιέντα, τὸ δὲ μάλιστα σεμνυνόμενον, καὶ τὸν μὲν σωφρονοῦντα, τὸ δὲ εἰ μή τις αὐτὸν ἐπαινοίη δεινὰ φάσκοντα πάσχειν. καὶ μὴν οἱ γονεῖς ὅταν ὁρῶσι τὰ τοῦ παιδὸς αὐτοῖς ὡς ἄριστα προχωροῦντα, καὶ λόγων εἵνεκα, καὶ τρόπων, αὐτὸν μὲν οὐδὲ μικρὸν ὑπὸ τούτοις ἂν θαυμάσειαν. εἰς δὲ τὸν ἐπόπτην, καὶ τὸν ὑπὸ οὗτον ἄγοντα ῥέπουσι, καὶ κροτοῦσιν ἐπαινοῦσι, χρήματα προτείνουσι· καὶ τῶν παραχρῆμα διδομένων, τὰ προσδοκώμενα μείζω. ἔστιν οὖν ἁπλοῦς καὶ δίκαιος λόγος,

γος, οὐδεὶς θαυμάζεται τὸν νέον τοῦ ἀγαθῶν. οὐ τοίνυν οὐδὲ κολάσεται τῶν ἐναντίων. ὑπὸ τὸν παιδαγωγὸν ἥξει τὸ θαῦμα τῶν δεξιῶν, οὐκοῦν καὶ τῶν ἁμαρτημάτων ἡ ζημία. ἢ μέγιστα ἂν πλεονεκτοῖεν, κἀκείνων δῶρα λαμβάνοντες, καὶ τούτων δίκην μὴ διδόντες. ἀλλ' οὐκ ἄξιον. ἀλλ' εἰ τῶν τιμῶν, καὶ τῆς τιμωρίας, εἰ πλημμελοῖτό τι, κληρονομοῖεν ἂν εἰκότως. καὶ μὴ τῆς φιλοτιμίας ἀντιποιούμενοι, ἀγανακτούντων ὑπὸ ταῖς πληγαῖς. οὗτο τὸ δίκαιον παντὰ χοῦ σωζόμενον εὑρήσομεν. ἦσαν ὁ χορὸς πλημμελῶς, τὸ διδάσκαλον ἐν αἰτίαις ἔχει τὸ θέατρον. καὶ τῶν μὲν χορευτῶν οὐδεὶς καθάπτεται· τὸν δὲ οὐ καλῶς ῥυθμήσαντα, οὗτον ἐλαύνουσι. δῆλον γὰρ, ὡς εἴπερ οὗτος ὑφηγεῖτο τῆς ἀμείνω, ταύτην ἂν ἦλθεν ἐκείνων ἕκαστος. βοῦς δὲ ὅταν κορύπτῃ, πότερα τὸν βουκόλον ἢ ἐκεῖνον μεμφόμεθα; πῶλος δὲ ὅταν ἀτακτῇ, πότερον ἐκεῖνον, ἢ τὸν ἡνίοχον κακίζομεν; φροντιζέτω δὲ καὶ τῆς τῶν ναύτων ἀρετῆς ὁ κυβερνήτης, ὡς αὐτὸς ὑφέξει λόγον ὧν αὐτοὶ σφαλῶσιν. ὥσπερ γὰρ ὑπὸ τοῦ λοχαγῶν τὰ τοῦ ἑπομένου ἐγκλήματα βαδίζει, τὰ γὰρ ἐκείνου νεύματα τοῦ πρακτέων τοῖς στρατιώταις ὅρος, οὕτω καὶ τῆς αἰτίαν τῶν ἁμαρτανομένων τοῖς νέοις, ὑπὸ τὴν τοῦ παιδαγωγοῦ κεφαλὴν δικαίως ἀναθεῖεν ἅπαν-

